GREEK SERIES · VOLUME 106

Alexander

Plutarch

ΑΛΕΞΑΝΔΡΟΣ · ΠΥΡΡΟΣ

Alexander

With Pyrrhus and the Essays on Fortune

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 106 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Perrin's Loeb Lives (volumes VII and IX,
1919 and 1920) and Bernardakis' Teubner Moralia (volume II, 1889)

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editors seclude are not printed; words they supply
are printed without their brackets; ∗∗∗ marks a gap in the text.

CONTENTS

ALEXANDER

1–4 · Birth and Boyhood 9
5–8 · Bucephalas and Aristotle 17
9–13 · Philip's Death and Thebes 25
14–17 · Diogenes, Troy, and the Granicus 36
18–22 · Issus and Darius' Family 47
23–26 · Tyre, Gaza, and Alexandria 59
27–30 · Ammon and Gaugamela's Eve 71
31–34 · Gaugamela 81
35–38 · Babylon, Susa, and Persepolis 91
39–42 · Generosity and the Companions 100
43–46 · Darius' End and the Amazon 110
47–50 · Roxane, Philotas, and Cleitus 116
51–55 · The Death of Cleitus and Callisthenes 127
56–59 · The March to India 138
60–63 · Porus and the Malli 145
64–67 · The Gymnosophists and the Ocean 155
68–71 · Susa and the Mutiny 162
72–77 · The Deaths of Hephaestion and Alexander 170

ON THE FORTUNE OR VIRTUE OF ALEXANDER

On the Fortune of Alexander I 183
On the Fortune of Alexander II 209

ON THE FORTUNE OF THE ROMANS

1–4 · Virtue and Fortune Come to Rome 255
5–8 · Temples to Fortune 264
9–13 · Fortune and Rome's Rise 274

PYRRHUS

1–3 · Ancestry and Childhood 297
4–7 · Exile, Return, and Pantauchus 303
8–11 · The Eagle, King of Macedonia 313
12–15 · Cineas and the Voyage 322
16–19 · Heraclea and Appius 334
20–22 · Fabricius, Asculum, and Sicily 346
23–25 · Sicily Lost and Beneventum 356
26–29 · The Attack on Sparta 363
30–34 · Argos and the End 376

PLUTARCH

ΑΛΕΞΑΝΔΡΟΣ

Alexander

Plutarch writes lives, not histories, and will look for character in small things rather than great battles. Alexander descended from Heracles and Aeacus; Philip married Olympias after meeting her at the Samothracian mysteries. Dreams foretold the child; a serpent seen beside her cooled Philip, and Delphi bade him honor Ammon. Alexander was born the day the temple of Artemis at Ephesus burned. His looks, fragrance, and boyhood temperance are described, and his ambition, which wanted no contest without kings.

τὸν Ἀλεξάνδρου τοῦ βασιλέως βίον καὶ τοῦ Καίσαρος, ὑφ' 1
the of-Alexander the king life and — of-Caesar by
οὗ κατελύθη Πομπήϊος, ἐν τούτῳ τῷ βιβλίῳ γράφοντες,
whom was-overthrown Pompey in this the book writing
διὰ τὸ πλῆθος τῶν ὑποκειμένων πράξεων οὐδὲν ἄλλο
because-of the multitude of-the underlying deeds nothing else
προεροῦμεν ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας,
we-shall-say-beforehand than we-shall-ask the readers
ἐὰν μὴ πάντα μηδὲ καθ' ἕκαστον ἐξειργασμένως τι τῶν
if not all-things nor in each in-detail any of-the
περιβοήτων ἀπαγγέλλωμεν, ἀλλὰ ἐπιτέμνοντες τὰ πλεῖστα,
famous-deeds we-report but cutting-short the most
μὴ συκοφαντεῖν. οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους,
not to-cavil neither for histories we-write but lives
οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δήλωσις
nor in-the most-illustrious deeds at-all is-present a-revelation
ἀρετῆς ἢ κακίας, ἀλλὰ πρᾶγμα βραχὺ πολλάκις καὶ ῥῆμα
of-virtue or vice but a-matter small often and a-saying
καὶ παιδιά τις ἔμφασιν ἤθους ἐποίησε μᾶλλον ἢ μάχαι
and a-jest some an-impression of-character made rather than battles
μυριόνεκροι καὶ παρατάξεις αἱ μέγισται καὶ πολιορκίαι
with-ten-thousand-dead and arrays the greatest and sieges

πόλεων. ὥσπερ οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ
of-cities as then the painters the likenesses from the
προσώπου καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται
face and the about the appearance features in-which is-revealed
τὸ ἦθος, ἀναλαμβάνουσιν, ἐλάχιστα τῶν λοιπῶν μερῶν
the character take-up least of-the remaining parts
φροντίζοντες, οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς
caring so for-us it-must-be-allowed into the of-the soul
σημεῖα μᾶλλον ἐνδύεσθαι καὶ διὰ τούτων εἰδοποιεῖν τὸν
signs rather to-enter and through these to-portray the
ἑκάστου βίον, ἐάσαντας ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας.
of-each life having-left to-others the great-things and the contests

2 Ἀλέξανδρος ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν
Alexander that by-the race on-the-side-of father indeed was
Ἡρακλείδης ἀπὸ Καράνου, πρὸς δὲ μητρὸς Αἰακίδης
a-Heraclid from Caranus on-the-side-of and mother an-Aeacid
ἀπὸ Νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστί.
from Neoptolemus of-the-things very trusted is
λέγεται δὲ Φίλιππος ἐν Σαμοθρᾴκῃ τῇ Ὀλυμπιάδι
is-said and Philip in Samothrace — Olympias
συμμυηθεὶς αὐτός τε μειράκιον ὢν ἔτι κἀκείνης
having-been-initiated-with himself both a-youth being still and-with-her
παιδὸς ὀρφανῆς γονέων ἐρασθῆναι καὶ τὸν γάμον
a-child orphaned of-parents to-have-fallen-in-love and the marriage
οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς Ἀρύμβαν.
so to-have-arranged having-persuaded the brother her Arymbas
ἡ μὲν οὖν νύμφη, πρὸ τῆς νυκτὸς ᾗ συνείρχθησαν εἰς
the indeed then bride before the night in-which they-were-shut into
τὸν θάλαμον, ἔδοξε βροντῆς γενομένης ἐμπεσεῖν αὐτῆς τῇ
the chamber seemed thunder having-come to-fall-on her the
γαστρὶ κεραυνόν, ἐκ δὲ τῆς πληγῆς πολὺ πῦρ ἀναφθέν,
womb a-thunderbolt from and the stroke much fire kindled

εἶτα ῥηγνύμενον εἰς φλόγας πάντῃ φερομένας διαλυθῆναι.
then breaking into flames everywhere being-carried to-be-dissolved
ὁ δὲ Φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον εἶδεν ὄναρ
— and Philip in-later time after the marriage saw a-dream
αὑτὸν ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός·
himself putting a-seal on-the womb of-the wife
ἡ δὲ γλυφὴ τῆς σφραγῖδος, ὡς ᾤετο, λέοντος εἶχεν
the and engraving of-the seal as he-thought of-a-lion had
εἰκόνα. τῶν δὲ ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς
an-image the but other seers suspecting the vision as
ἀκριβεστέρας φυλακῆς δεομένων τῷ Φιλίππῳ τῶν περὶ
of-closer guarding needing — for-Philip of-the-things about
τὸν γάμον, Ἀρίστανδρος ὁ Τελμησσεὺς κύειν ἔφη τὴν
the marriage Aristander the Telmessian to-be-pregnant said the
ἄνθρωπον, οὐθὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν,
woman nothing for to-be-sealed of-the-things empty
καὶ κύειν παῖδα θυμοειδῆ καὶ λεοντώδη τὴν φύσιν.
and to-be-pregnant-with a-son spirited and lion-like the nature
ὤφθη δέ ποτε καὶ δράκων κοιμωμένης τῆς Ὀλυμπιάδος
was-seen and once also a-serpent sleeping — Olympias
παρεκτεταμένος τῷ σώματι· καὶ τοῦτο μάλιστα τοῦ
stretched-out-beside the body and this most —
Φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας ἀμαυρῶσαι
of-Philip the passion and the affections to-have-dulled
λέγουσιν, ὡς μηδὲ φοιτᾶν ἔτι πολλάκις παρ' αὐτὴν
they-say so-that not-even to-go any-longer often to her
ἀναπαυσόμενον, εἴτε δείσαντά τινας μαγείας ἐπ' αὐτῷ καὶ
going-to-rest whether having-feared some spells against him and
φάρμακα τῆς γυναικός, εἴτε τὴν ὁμιλίαν ὡς κρείττονι
drugs of-the woman or the intercourse as with-a-stronger-one
συνούσης ἀφοσιούμενον. ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος,
consorting declining-in-awe another and about these-things is account

ὡς πᾶσαι μὲν αἱ τῇδε γυναῖκες ἔνοχοι τοῖς Ὀρφικοῖς
that all indeed the here women subject to-the Orphic-rites
οὖσαι καὶ τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ
being and to-the about — Dionysus orgies from the very
παλαιοῦ, Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι,
ancient-time Klodones both and Mimallones a-surname having
πολλὰ ταῖς Ἠδωνίσι καὶ ταῖς περὶ τὸν Αἷμον Θρήσσαις
many to-the Edonian-women and to-the about the Haemus Thracian-women
ὅμοια δρῶσιν, ἀφ' ὧν δοκεῖ καὶ τὸ θρησκεύειν ὄνομα
like-things do from which seems also the to-threskeuein name
ταῖς κατακόροις γενέσθαι καὶ περιέργοις ἱερουργίαις,
for-the excessive to-have-become and superstitious rites
ἡ δὲ Ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς
— but Olympias more than-others having-been-zealous-for the
κατοχὰς καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα βαρβαρικώτερον
possessions and the inspired-frenzies conducting more-barbarously
ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἳ
snakes great tame dragged-in to-the revel-bands which
πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων
often from the ivy and the mystic winnowing-fans
παραναδυόμενοι καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν
gliding-up and coiling-around the wands of-the
γυναικῶν καὶ τοῖς στεφάνοις ἐξέπληττον τοὺς ἄνδρας.
women and the garlands terrified the men
3 οὐ μὴν ἀλλὰ Φιλίππῳ μέν, μετὰ τὸ φάσμα πέμψαντι
not indeed but to-Philip indeed after the apparition having-sent
Χαίρωνα τὸν Μεγαλοπολίτην εἰς Δελφούς, χρησμὸν
Chaeron the Megalopolitan to Delphi an-oracle
κομισθῆναι λέγουσι παρὰ τοῦ θεοῦ κελεύοντος Ἄμμωνι
to-have-been-brought they-say from the god bidding to-Ammon
θύειν καὶ σέβεσθαι μάλιστα τοῦτον τὸν θεόν· ἀποβαλεῖν
to-sacrifice and to-revere most this the god to-lose

δὲ τῶν ὄψεων αὐτὸν τὴν ἑτέραν, ἣν τῷ τῆς θύρας
and of-the eyes him the one which to-the of-the door
ἁρμῷ προσβαλὼν κατώπτευσεν ἐν μορφῇ δράκοντος
crack having-put-to he-spied in form of-a-serpent
συνευναζόμενον τῇ γυναικὶ τὸν θεόν. ἡ δὲ Ὀλυμπιάς, ὡς
sleeping-with the wife the god — and Olympias as
Ἐρατοσθένης φησί, προπέμπουσα τὸν Ἀλέξανδρον ἐπὶ τὴν
Eratosthenes says sending-off — Alexander on the
στρατείαν, καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν
expedition and having-told to-him-alone the about the begetting
ἀπόρρητον, ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως. ἕτεροι
secret bade worthy-things to-think of-the birth others
δέ φασιν αὐτὴν ἀφοσιοῦσθαι καὶ λέγειν· “οὐ παύσεταί
but say her to-repudiate and to-say not will-cease
με διαβάλλων Ἀλέξανδρος πρὸς τὴν Ἥραν;” ἐγεννήθη δ’
me slandering Alexander to — Hera was-born and
οὖν Ἀλέξανδρος ἱσταμένου μηνὸς Ἑκατομβαιῶνος, ὃν
then Alexander at-the-beginning of-the-month Hecatombaeon which
Μακεδόνες Λῷον καλοῦσιν, ἕκτῃ, καθ’ ἣν ἡμέραν ὁ τῆς
Macedonians Loïs call on-the-sixth on which day the of-the
Ἐφεσίας Ἀρτέμιδος ἐνεπρήσθη νεώς· ᾧ γ’ Ἡγησίας
Ephesian Artemis was-burned temple on-which at-least Hegesias
ὁ Μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα κατασβέσαι τὴν
the Magnesian has-uttered an-exclamation to-quench the
πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας δυνάμενον· εἰκότως γὰρ ἔφη
conflagration that by frigidity able naturally for he-said
καταφλεχθῆναι τὸν νεὼν τῆς Ἀρτέμιδος ἀσχολουμένης περὶ
to-have-been-burned-down the temple — Artemis being-busy about
τὴν Ἀλεξάνδρου μαίωσιν. ὅσοι δὲ τῶν μάγων ἐν Ἐφέσῳ
the of-Alexander delivery as-many-as and of-the magi in Ephesus
διατρίβοντες ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγούμενοι
staying happened the about the temple disaster thinking

πάθους ἑτέρου σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπτόμενοι
of-disaster another a-sign to-be ran-about the faces beating
καὶ βοῶντες ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ Ἀσίᾳ
and crying-out ruin at-once and calamity great — for-Asia
τὴν ἡμέραν ἐκείνην τετοκέναι. Φιλίππῳ δὲ ἄρτι Ποτείδαιαν
the day that to-have-borne to-Philip and just Potidaea
ᾑρηκότι τρεῖς ἦκον ἀγγελίαι κατὰ τὸν αὐτὸν χρόνον· ἡ
having-taken three came messages at the same time the-one
μὲν Ἰλλυριοὺς ἡττᾶσθαι μάχῃ μεγάλῃ διὰ Παρμενίωνος,
indeed the-Illyrians to-be-defeated in-battle great by Parmenio
ἡ δὲ Ὀλυμπίασιν ἵππῳ κέλητι νενικηκέναι, τρίτη δὲ
the-other and at-Olympia with-a-horse racing to-have-won third and
περὶ τῆς Ἀλεξάνδρου γενέσεως. ἐφ' οἷς ἡδόμενον, ὡς
about the of-Alexander birth at which-things being-pleased as
εἰκός, ἔτι μᾶλλον οἱ μάντεις ἐπῆραν ἀποφαινόμενοι τὸν
is-likely still more the seers elated declaring the
παῖδα τρισὶ νίκαις συγγεγεννημένον ἀνίκητον ἔσεσθαι.
child with-three victories born-together unconquerable to-be-going-to-be
4 τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν
the indeed then form of-the body the Lysippean most of-the
ἀνδριάντων ἐμφαίνουσιν, ὑφ' οὗ μόνου καὶ αὐτὸς ἠξίου
statues show by whom alone also himself be-thought-fit
πλάττεσθαι. καὶ γὰρ μάλισθ' ἃ πολλοὶ τῶν διαδόχων
to-be-modeled and for most which many of-the successors
ὕστερον καὶ τῶν φίλων ἀπεμιμοῦντο, τήν τε ἀνάτασιν
later and of-the friends imitated the both poise
τοῦ αὐχένος εἰς εὐώνυμον ἡσυχῇ κεκλιμένου καὶ τὴν
of-the neck to left gently inclined and the
ὑγρότητα τῶν ὀμμάτων, διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης.
liquid-glance of-the eyes has-preserved exactly the artist
Ἀπελλῆς δὲ γράφων τὸν κεραυνοφόρον οὐκ ἐμιμήσατο
Apelles and painting the thunderbolt-bearer not imitated

τὴν χρόαν, ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν.
the coloring but darker and dusky made
ἦν δὲ λευκός, ὥς φασιν· ἡ δὲ λευκότης ἐπεφοίνισσεν
he-was and fair as they-say the and fairness turned-ruddy
αὐτοῦ περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσωπον. ὅτι δὲ
his about the breast most and the face that and
τοῦ χρωτὸς ἥδιστον ἀπέπνει καὶ τὸ στόμα κατεῖχεν
of-the skin a-most-pleasant-odor breathed and the mouth possessed
εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς
fragrance and the flesh all so-that to-be-filled the
χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπομνήμασιν Ἀριστοξενείοις.
tunics we-read in memoirs Aristoxenian
αἰτία δὲ ἴσως ἡ τοῦ σώματος κρᾶσις πολύθερμος
the-cause and perhaps the of-the body temperament very-hot
οὖσα καὶ πυρώδης· ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν
being and fiery the for fragrance arises by-concoction of-the
ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος. ὅθεν οἱ
moist-humors by heat as thinks Theophrastus whence the
ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ
dry and fiery regions of-the inhabited-world the most and
κάλλιστα τῶν ἀρωμάτων φέρουσιν· ἐξαιρεῖ γὰρ ὁ ἥλιος τὸ
finest of-the spices bear removes for the sun the
ὑγρὸν ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν.
moisture as matter of-decay floating-on-the-surface of-the bodies
Ἀλέξανδρον δὲ ἡ θερμότης τοῦ σώματος, ὡς ἔοικε, καὶ
Alexander and the heat of-the body as it-seems both
ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. ἔτι δὲ ὄντος αὐτοῦ παιδὸς
given-to-drink and spirited made still and being him a-boy
ἥ τε σωφροσύνη διεφαίνετο τῷ πρὸς τἆλλα ῥαγδαῖον
the both self-restraint showed-itself in-the in other-things impetuous
ὄντα καὶ φερόμενον σφοδρῶς ἐν ταῖς ἡδοναῖς ταῖς περὶ
being and carried vehemently in the pleasures the about

τὸ σῶμα δυσκίνητον εἶναι καὶ μετὰ πολλῆς πραότητος
the body hard-to-move to-be and with much mildness
ἅπτεσθαι τῶν τοιούτων, ἥ τε φιλοτιμία παρ᾽ ἡλικίαν
to-touch the such-things the both ambition beyond his-age
ἐμβριθὲς εἶχε τὸ φρόνημα καὶ μεγαλόψυχον. οὔτε γὰρ ἀπὸ
weighty kept the spirit and lofty neither for from
παντὸς οὔτε πᾶσαν ἠγάπα δόξαν, ὡς Φίλιππος λόγου τε
every-source nor every-kind loved glory as Philip of-speech both
δεινότητι σοφιστικῶς καλλωπιζόμενος καὶ τὰς ἐν Ὀλυμπίᾳ
cleverness sophistically priding-himself and the at Olympia
νίκας τῶν ἁρμάτων ἐγχαράττων τοῖς νομίσμασιν, ἀλλὰ
victories of-the chariots engraving on-the coins but
καὶ τῶν περὶ αὐτὸν ἀποπειρωμένων εἰ βούλοιτ᾽ ἂν
also of-those around him trying-him whether he-would-wish —
Ὀλυμπίασιν ἀγωνίσασθαι στάδιον, ἦν γὰρ ποδώκης,
at-Olympia to-compete in-the-stadium-race he-was for swift-footed
“εἴ γε,” ἔφη, “βασιλεῖς ἔμελλον ἕξειν ἀνταγωνιστάς.”
if at-least he-said kings I-was-going to-have as-competitors
φαίνεται δὲ καὶ καθόλου πρὸς τὸ τῶν ἀθλητῶν γένος
he-appears and also in-general toward the of-the athletes race
ἀλλοτρίως ἔχων· πλείστους γέ τοι θεὶς ἀγῶνας
averse being most at-least indeed having-instituted contests
οὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ
not only of-tragedians and flute-players and lyre-singers but
καὶ ῥαψῳδῶν, θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας,
also of-rhapsodists of-hunting both of-every-kind and of-cudgel-fighting
οὔτε πυγμῆς οὔτε παγκρατίου μετά τινος σπουδῆς ἔθηκεν
neither for-boxing nor for-the-pancratium with any zeal instituted
ἆθλον.
a-prize

Entertaining the Persian envoys, the boy astonished them with his questions, and he feared his father's victories would leave him nothing to do. Leonidas and Lysimachus taught him. When no one could ride the horse Bucephalas, Alexander saw it shied at its own shadow, turned it to the sun, and mastered it; Philip wept and told him to seek a kingdom worthy of himself. At Mieza Aristotle taught him ethics, politics, and secret doctrines, and Alexander chided him for publishing them; he kept the Iliad under his pillow, loved medicine and reading, and grew cool toward Aristotle but never toward philosophy.

τοὺς δὲ παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἥκοντας 5
the and from the of-Persians king envoys having-come
ἀποδημοῦντος Φιλίππου ξενίζων καὶ γενόμενος συνήθης
being-abroad Philip entertaining and having-become familiar
οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ καὶ τῷ μηδὲν
so won-over by-the friendliness and by-the no
ἐρώτημα παιδικὸν ἐρωτῆσαι μηδὲ μικρόν, ἀλλ' ὁδῶν τε
question childish to-have-asked nor petty but of-roads both
μήκη καὶ πορείας τῆς ἄνω τρόπον ἐκπυνθάνεσθαι, καὶ
lengths and of-the-journey of-the inland manner to-inquire and
περὶ αὐτοῦ τοῦ βασιλέως, ὁποῖος εἴη πρὸς τοὺς
about very the king what-sort he-might-be toward the
πολέμους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις, ὥστε
wars and what the of-Persians prowess and power so-that
θαυμάζειν ἐκείνους καὶ τὴν λεγομένην Φιλίππου δεινότητα
to-admire them and the reputed of-Philip cleverness
μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ
nothing to-think in-comparison-with the of-the boy eagerness and
μεγαλοπραγμοσύνην. ὁσάκις γοῦν ἀπαγγελθείη Φίλιππος
enterprise as-often-as at-least was-reported Philip
ἢ πόλιν ἔνδοξον ἠρηκὼς ἢ μάχην τινὰ περιβόητον
either a-city famous having-taken or a-battle some celebrated

νενικηκώς, οὐ πάνυ φαιδρὸς ἦν ἀκούων, ἀλλὰ πρὸς τοὺς
having-won not very cheerful he-was hearing but to the
ἡλικιώτας ἔλεγεν· "ὦ παῖδες, πάντα προλήψεται ὁ πατήρ·
age-mates he-said O boys everything will-anticipate the father
ἐμοὶ δὲ οὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα
for-me and nothing he-will-leave with you deed to-display great
καὶ λαμπρόν." οὐ γὰρ ἡδονὴν ζηλῶν οὐδὲ πλοῦτον, ἀλλ'
and brilliant not for pleasure seeking nor wealth but
ἀρετὴν καὶ δόξαν, ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ
virtue and glory he-thought the-more more he-should-receive from
τοῦ πατρός, ἐλάττονα κατορθώσειν δι' ἑαυτοῦ. διὸ
the father the-less to-be-going-to-achieve through himself wherefore
τοῖς πράγμασιν αὐξομένοις καταναλίσκεσθαι τὰς πράξεις
with-the affairs growing to-be-used-up the deeds
εἰς ἐκεῖνον ἡγούμενος, ἐβούλετο μὴ χρήματα μηδὲ τρυφὰς
on that-one thinking he-wished not wealth nor luxuries
καὶ ἀπολαύσεις, ἀλλ' ἀγῶνας καὶ πολέμους καὶ φιλοτιμίας
and enjoyments but contests and wars and ambitions
ἔχουσαν ἀρχὴν παραλαβεῖν. πολλοὶ μὲν οὖν περὶ τὴν
having a-rule to-take-over many indeed then about the
ἐπιμέλειαν, ὡς εἰκός, ἦσαν αὐτοῦ τροφεῖς καὶ παιδαγωγοὶ
care as is-likely were his nurturers and tutors
καὶ διδάσκαλοι λεγόμενοι, πᾶσι δ' ἐφειστήκει Λεωνίδας,
and teachers called all and was-set-over Leonidas
ἀνὴρ τό τε ἦθος αὐστηρὸς καὶ συγγενὴς Ὀλυμπιάδος,
a-man the both character severe and a-kinsman of-Olympias
αὐτὸς μὲν οὐ φεύγων τὸ τῆς παιδαγωγίας ὄνομα καλὸν
himself indeed not shunning the of-the tutorship name a-fine
ἔργον ἐχούσης καὶ λαμπρόν, ὑπὸ δὲ τῶν ἄλλων διὰ
work having and brilliant by and the others because-of
τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα τροφεὺς Ἀλεξάνδρου καὶ
the dignity and the kinship foster-father of-Alexander and

καθηγητὴς καλούμενος. ὁ δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ
preceptor called the-one and the manner of-the tutor
καὶ τὴν προσηγορίαν ὑποποιούμενος ἦν Λυσίμαχος, τῷ
and the title assuming was Lysimachus by-the
γένει Ἀκαρνάν, ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι δ'
race an-Acarnanian other indeed nothing having refined that but
ἑαυτὸν μὲν ὠνόμαζε Φοίνικα, τὸν δὲ Ἀλέξανδρον Ἀχιλλέα,
himself indeed he-called Phoenix — and Alexander Achilles
Πηλέα δὲ τὸν Φίλιππον, ἠγαπᾶτο καὶ δευτέραν εἶχε χώραν.
Peleus and — Philip he-was-loved and second held place
ἐπεὶ δὲ Φιλονίκου τοῦ Θεσσαλοῦ τὸν Βουκεφάλαν ἀγαγόντος 6
when and Philonicus the Thessalian — Bucephalas having-brought
ὤνιον τῷ Φιλίππῳ τρισκαίδεκα ταλάντων κατέβησαν εἰς τὸ
for-sale — to-Philip for-thirteen talents they-went-down to the
πεδίον δοκιμάσοντες τὸν ἵππον, ἐδόκει τε χαλεπὸς εἶναι καὶ
plain going-to-test the horse it-seemed both difficult to-be and
κομιδῇ δύσχρηστος, οὔτε ἀναβάτην προσιέμενος οὔτε φωνὴν
altogether unmanageable neither a-rider admitting nor voice
ὑπομένων τινὸς τῶν περὶ τὸν Φίλιππον, ἀλλ' ἁπάντων
enduring of-any of-those about — Philip but all
κατεξανιστάμενος, δυσχεραίνοντος δὲ τοῦ Φιλίππου καὶ
rearing-against being-annoyed and — Philip and
κελεύοντος ἀπάγειν ὡς παντάπασιν ἄγριον καὶ ἀκόλαστον,
ordering to-lead-it-away as altogether wild and unruly
παρὼν Ἀλέξανδρος εἶπεν "οἷον ἵππον ἀπολλύουσι δι'
being-present Alexander said what a-horse they-are-ruining through
ἀπειρίαν καὶ μαλακίαν χρήσασθαι μὴ δυνάμενοι," τὸ μὲν
inexperience and softness to-use-it not being-able the indeed
οὖν πρῶτον ὁ Φίλιππος ἐσιώπησε· πολλάκις δὲ αὐτοῦ
then first — Philip kept-silent often but him
παραφθεγγομένου καὶ περιπαθοῦντος, "ἐπιτιμᾷς σύ," ἔφη,
muttering and being-distressed do-you-rebuke you he-said

“πρεσβυτέροις ὥς τι πλέον αὐτὸς εἰδὼς ἢ μᾶλλον ἵππῳ
your-elders as something more yourself knowing or better a-horse
χρήσασθαι δυνάμενος;” “τούτῳ γοῦν,” ἔφη, “χρησαίμην
to-manage being-able this at-least he-said I-would-manage
ἂν ἑτέρου βέλτιον.” “ἂν δὲ μὴ χρήσῃ, τίνα δίκην τῆς
— than-another better if and not you-manage what penalty for-the
προπετείας ὑφέξεις;” “ἐγώ, νὴ Δί᾽,” εἶπεν, “ἀποτίσω τοῦ
rashness will-you-pay I by Zeus said will-pay of-the
ἵππου τὴν τιμήν.” γενομένου δὲ γέλωτος, εἶτα ὁρισμοῦ
horse the price having-arisen and laughter then agreement
πρὸς ἀλλήλους εἰς τὸ ἀργύριον, εὐθὺς προσδραμὼν τῷ
with one-another about the money at-once having-run-up to-the
ἵππῳ καὶ παραλαβὼν τὴν ἡνίαν ἐπέστρεψε πρὸς τὸν
horse and having-taken the rein he-turned toward the
ἥλιον, ὡς ἔοικεν, ἐννοήσας ὅτι τὴν σκιὰν προπίπτουσαν
sun as it-seems having-noticed that the shadow falling-before
καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ διαταράττοιτο. μικρὰ
and moving seeing before him it-was-being-disturbed a-little
δὲ οὕτω παρακαλπάσας καὶ καταψήσας, ὡς ἑώρα
and so having-trotted-alongside and having-stroked when he-saw
πληρούμενον θυμοῦ καὶ πνεύματος, ἀπορρίψας ἡσυχῇ τὴν
filling with-spirit and breath having-thrown-off quietly the
χλαμύδα καὶ μετεωρίσας αὑτὸν ἀσφαλῶς περιέβη. καὶ μικρὰ
cloak and having-lifted himself safely bestrode and a-little
μὲν περιλαβὼν ταῖς ἡνίαις τὸν χαλινὸν ἄνευ πληγῆς
indeed restraining with-the reins the bit without blow
καὶ σπαραγμοῦ προσανέστειλεν· ὡς δὲ ἑώρα τὸν ἵππον
and tearing pulled-back when and he-saw the horse
ἀφεικότα τὴν ἀπειλήν, ὀργῶντα δὲ πρὸς τὸν δρόμον,
having-given-up the threat eager and for the run
ἐφεὶς ἐδίωκεν ἤδη φωνῇ θρασυτέρᾳ καὶ ποδὸς
having-given-rein he-urged-him-on now with-a-voice bolder and of-foot

κρούσει χρώμενος. τῶν δὲ περὶ τὸν Φίλιππον ἦν ἀγωνία
striking using of-those and about — Philip was anxiety
καὶ σιγὴ τὸ πρῶτον ὡς δὲ κάμψας ἐπέστρεψεν ὀρθῶς
and silence the first when and having-turned he-came-back rightly
σοβαρὸς καὶ γεγηθώς, οἱ μὲν ἄλλοι πάντες ἠλάλαξαν, ὁ
proud and rejoicing the indeed others all shouted the
δὲ πατὴρ καὶ δακρῦσαί τι λέγεται πρὸς τὴν χαράν, καὶ
and father even to-have-wept somewhat is-said for the joy and
καταβάντος αὐτοῦ τὴν κεφαλὴν φιλήσας, "ὦ παῖ," φάναι,
having-come-down him the head having-kissed O son to-have-said
"ζήτει σεαυτῷ βασιλείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ."
seek for-yourself a-kingdom equal Macedonia for you not holds
καθορῶν δὲ τὴν φύσιν αὐτοῦ δυσκίνητον μὲν οὖσαν 7
observing and the nature his hard-to-move indeed being
ἐρίσαντος μὴ βιασθῆναι, ῥᾳδίως δὲ ἀγομένην ὑπὸ
having-been-contentious not to-be-forced easily and being-led by
λόγου πρὸς τὸ δέον, αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον
reason to the needful himself both to-persuade he-tried rather
ἢ προστάττειν, καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια
than to-command and to-the about music and the general-education
παιδευταῖς οὐ πάνυ τι πιστεύων τὴν ἐπιστασίαν αὐτοῦ
teachers not very at-all trusting the supervision his
καὶ κατάρτισιν, ὡς μείζονος οὖσαν πραγματείας καὶ
and training as of-a-greater being business and
κατὰ τὸν Σοφοκλέα
according-to — Sophocles

πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα,
of-many bridles a-task of-rudders both at-once

μετεπέμψατο τῶν φιλοσόφων τὸν ἐνδοξότατον καὶ
sent-for of-the philosophers the most-famous and
λογιώτατον Ἀριστοτέληνκαλὰ καὶ πρέποντα διδασκάλια
most-learned Aristotle fine and fitting tuition-fees
τελέσας αὐτῷ. τὴν γὰρ Σταγειριτῶν πόλιν, ἐξ ἧς ἦν
having-paid him the for of-Stagirites city from which was
Ἀριστοτέλης, ἀνάστατον ὑπ᾽ αὐτοῦ γεγενημένην συνῴκισε
Aristotle desolate by him having-been-made he-resettled
πάλιν, καὶ τοὺς διαφυγόντας ἢ δουλεύοντας τῶν πολιτῶν
again and the having-fled or being-slaves of-the citizens
ἀποκατέστησε. σχολὴν μὲν οὖν αὐτοῖς καὶ διατριβὴν τὸ
he-restored as-a-school indeed then for-them and resort the
περὶ Μίεζαν Νυμφαῖον ἀπέδειξεν, ὅπου μέχρι νῦν
about Mieza precinct-of-the-Nymphs he-appointed where until now
Ἀριστοτέλους ἕδρας τε λιθίνας καὶ ὑποσκίους περιπάτους
of-Aristotle seats both stone and shady walks
δεικνύουσιν. ἔοικε δὲ Ἀλέξανδρος οὐ μόνον τὸν ἠθικὸν καὶ
they-show seems and Alexander not only the ethical and
πολιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ καὶ τῶν ἀπορρήτων καὶ
political to-have-received teaching but also of-the secret and
βαθυτέρων διδασκαλιῶν, ἃς οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς
deeper doctrines which the men specially acroamatic
καὶ ἐποπτικὰς προσαγορεύοντες οὐκ ἐξέφερον εἰς πολλούς,
and epoptic calling not brought-out to many
μετασχεῖν. ἤδη γὰρ εἰς Ἀσίαν διαβεβηκώς, καὶ πυθόμενος
to-share already for into Asia having-crossed and having-learned
λόγους τινὰς ἐν βιβλίοις περὶ τούτων ὑπὸ Ἀριστοτέλους
treatises some in books about these by Aristotle
ἐκδεδόσθαι, γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας
to-have-been-published writes to him on-behalf-of philosophy
παρρησιαζόμενος ἐπιστολήν, ἧς ἀντίγραφόν ἐστιν·
speaking-frankly a-letter of-which a-copy is

“Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν. οὐκ ὀρθῶς
Alexander to-Aristotle well to-fare not rightly
ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων·
you-did having-published the acroamatic of-the treatises
τίνι γὰρ δὴ διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ’
in-what for indeed shall-we-excel we than-the others if by
οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί;
which we-were-educated treatises these of-all shall-be common
ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις ἢ
I and would-wish — in-the about the best-things experiences than
ταῖς δυνάμεσι διαφέρειν. ἔρρωσο.” ταύτην μὲν οὖν τὴν
in-the powers to-excel farewell this indeed then the
φιλοτιμίαν αὐτοῦ παραμυθούμενος Ἀριστοτέλης ἀπολογεῖται
ambition his soothing Aristotle defends-himself
περὶ τῶν λόγων ἐκείνων, ὡς καὶ ἐκδεδομένων καὶ μὴ
about the treatises those as both published and not
ἐκδεδομένων· ἀληθῶς γὰρ ἡ μετὰ τὰ φυσικὰ πραγματεία
published truly for the after the physics treatise
πρὸς διδασκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσιμον
for teaching and learning nothing having useful
ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ’ ἀρχῆς γέγραπται.
a-pattern for-the educated from the-beginning has-been-written
δοκεῖ δέ μοι καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρίψασθαι 8
seems and to-me also the love-of-medicine to-Alexander to-have-imparted
μᾶλλον ἑτέρων Ἀριστοτέλης· οὐ γὰρ μόνον τὴν θεωρίαν
more than-others Aristotle not for only the theory
ἠγάπησεν, ἀλλὰ καὶ νοσοῦσιν ἐβοήθει τοῖς φίλοις καὶ
he-loved but also being-sick he-helped the friends and
συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν
prescribed treatments some and regimens as from the
ἐπιστολῶν λαβεῖν ἔστιν. ἦν δὲ καὶ φύσει φιλόλογος καὶ
letters to-gather it-is-possible he-was and also by-nature a-lover-of-learning and

φιλαναγνώστης. καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς
a-lover-of-reading and the indeed Iliad of-the martial virtue
ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβε μὲν Ἀριστοτέλους
a-provision both thinking and calling he-took indeed Aristotle
διορθώσαντος ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν, εἶχε δὲ ἀεὶ
having-corrected which from the casket they-call he-had and always
μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς
with the dagger lying under the pillow as
Ὀνησίκριτος ἱστόρηκε, τῶν δὲ ἄλλων βιβλίων οὐκ εὐπορῶν
Onesicritus has-related of-the and other books not having-plenty
ἐν τοῖς ἄνω τόποις Ἅρπαλον ἐκέλευσε πέμψαι. κἀκεῖνος
in the upper regions Harpalus he-ordered to-send and-he
ἔπεμψεν αὐτῷ τάς τε Φιλίστου βίβλους καὶ τῶν Εὐριπίδου
sent to-him the both of-Philistus books and of-the of-Euripides
καὶ Σοφοκλέους καὶ Αἰσχύλου τραγῳδιῶν συχνάς, καὶ
and Sophocles and Aeschylus tragedies many and
Τελέστου καὶ Φιλοξένου διθυράμβους. Ἀριστοτέλην δὲ
of-Telestes and Philoxenus dithyrambs Aristotle and
θαυμάζων ἐν ἀρχῇ καὶ ἀγαπῶν οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγε,
admiring at first and loving not less as himself said
τοῦ πατρός, ὡς δι' ἐκεῖνον μὲν ζῶν, διὰ τοῦτον
than-the father since through that-one indeed living through this-one
δὲ καλῶς ζῶν, ὕστερον ὑποπτότερον ἔσχεν, οὐχ ὥστε
and well living later more-suspiciously he-regarded not so-as
ποιῆσαί τι κακόν, ἀλλ' αἱ φιλοφροσύναι τὸ σφοδρὸν ἐκεῖνο
to-do any harm but the kindnesses the vehemence that
καὶ στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτὸν ἀλλοτριότητος
and affection not having toward him of-estrangement
ἐγένοντο τεκμήριον. ὁ μέντοι πρὸς φιλοσοφίαν ἐμπεφυκὼς
became a-sign the however toward philosophy implanted
καὶ συντεθραμμένος ἀπ' ἀρχῆς αὐτῷ ζῆλος καὶ πόθος
and reared-with from the-beginning in-him zeal and longing

οὐκ ἐξερρύη τῆς ψυχῆς, ὡς ἡ περὶ Ἀνάξαρχόν τε τιμὴ
not flowed-out from-the soul as the toward Anaxarchus both honor
καὶ τὰ πεμφθέντα Ξενοκράτει πεντήκοντα τάλαντα καὶ
and the sent to-Xenocrates fifty talents and
Δάνδαμις καὶ Καλανὸς οὕτω σπουδασθέντες μαρτυροῦσι.
Dandamis and Calanus so much-regarded testify

9–13 · PHILIP'S DEATH AND THEBES

Regent at sixteen, Alexander beat the Maedi and led the charge at Chaeronea. Philip's marriage to Cleopatra split the house: Attalus' insult at the feast, Philip's drawn sword and fall, and Alexander's exile with Olympias. The Pixodarus affair angered Philip; then Pausanias murdered him. Alexander, twenty, crushed the Triballi, marched on Thebes, which defied him, and razed it, sparing the priests and Pindar's descendants; Timocleia, who killed the Thracian who raped her, was freed. He spared Athens and later grieved for Thebes.

Φιλίππου δὲ στρατεύοντος ἐπὶ Βυζαντίους, ἦν μὲν 9
Philip and campaigning against Byzantines was indeed
ἑκκαιδεκέτης Ἀλέξανδρος, ἀπολειφθεὶς δὲ κύριος ἐν
sixteen-years-old Alexander having-been-left and master in
Μακεδονίᾳ τῶν πραγμάτων καὶ τῆς σφραγῖδος, Μαίδων
Macedonia of-the affairs and of-the seal of-Maedi
τε τοὺς ἀφεστῶτας κατεστρέψατο, καὶ πόλιν ἑλὼν αὐτῶν
both the having-revolted subdued and a-city having-taken their
τοὺς μὲν βαρβάρους ἐξήλασε, συμμίκτους δὲ κατοικίσας
the indeed barbarians drove-out mixed and having-settled
Ἀλεξανδρόπολιν προσηγόρευσεν. ἐν δὲ Χαιρωνείᾳ τῆς πρὸς
Alexandropolis named-it in and Chaeronea at-the against
τοὺς Ἕλληνας μάχης παρὼν μετέσχε, καὶ λέγεται πρῶτος
the Greeks battle being-present took-part and is-said first

ἐνσεῖσαι τῷ ἱερῷ λόχῳ τῶν Θηβαίων. ἔτι δὲ καὶ καθ'
to-have-charged the sacred band of-the Thebans still and also in
ἡμᾶς ἐδείκνυτο παλαιὰ παρὰ τὸν Κηφισὸν Ἀλεξάνδρου
our-time was-shown an-old by the Cephisus of-Alexander
καλουμένη δρῦς, πρὸς ἣν τότε κατεσκήνωσε, καὶ τὸ
called oak by which then he-pitched-his-tent and the
πολυάνδριον οὐ πόρρω τῶν Μακεδόνων ἐστίν. ἐκ μὲν οὖν
common-grave not far of-the Macedonians is from indeed then
τούτων, ὡς εἰκός, Φίλιππος ὑπερηγάπα τὸν υἱόν, ὥστε καὶ
these-things as is-likely Philip loved-exceedingly the son so-that also
χαίρειν τῶν Μακεδόνων Ἀλέξανδρον μὲν βασιλέα, Φίλιππον
to-rejoice the Macedonians Alexander indeed king Philip
δὲ στρατηγὸν καλούντων. αἱ δὲ περὶ τὴν οἰκίαν ταραχαί,
and general calling the but about the household troubles
διὰ τοὺς γάμους καὶ τοὺς ἔρωτας αὐτοῦ τρόπον τινὰ τῆς
because-of the marriages and the loves his in-a-way some the
βασιλείας τῇ γυναικωνίτιδι συννοσούσης, πολλὰς αἰτίας
kingdom to-the women's-quarters being-infected-with many causes
καὶ μεγάλας διαφορὰς παρεῖχον, ἃς ἡ τῆς Ὀλυμπιάδος
and great quarrels provided which the — of-Olympias
χαλεπότης, δυσζήλου καὶ βαρυθύμου γυναικός, ἔτι μείζονας
harshness a-jealous and sullen woman still greater
ἐποίει, παροξυνούσης τὸν Ἀλέξανδρον. ἐκφανεστάτην δὲ
made exasperating — Alexander the-most-conspicuous and
Ἄτταλος παρέσχεν ἐν τοῖς Κλεοπάτρας γάμοις, ἧν ὁ
Attalus provided at the of-Cleopatra wedding whom —
Φίλιππος ἠγάγετο παρθένον, ἐρασθεὶς παρ' ἡλικίαν
Philip was-marrying a-maiden having-fallen-in-love-with beyond his-age
τῆς κόρης. θεῖος γὰρ ὢν αὐτῆς ὁ Ἄτταλος ἐν τῷ πότῳ
of-the girl uncle for being her — Attalus in the drinking
μεθύων παρεκάλει τοὺς Μακεδόνας αἰτεῖσθαι παρὰ θεῶν
drunk urged the Macedonians to-ask from gods

γνήσιον ἐκ Φιλίππου καὶ Κλεοπάτρας γενέσθαι διάδοχον
a-legitimate from Philip and Cleopatra to-be-born successor
τῆς βασιλείας. ἐπὶ τούτῳ παροξυνθεὶς ὁ Ἀλέξανδρος καὶ
of-the kingship at this provoked — Alexander and
εἰπών, "ἡμεῖς δέ σοι, κακὴ κεφαλή, νόθοι δοκοῦμεν;"
having-said we and to-you evil head bastards do-we-seem
ἔβαλε σκύφον ἐπ' αὐτόν. ὁ δὲ Φίλιππος ἐπ' ἐκεῖνον
threw a-cup at him — and Philip at him
ἐξανέστη σπασάμενος τὸ ξίφος, εὐτυχίᾳ δὲ ἑκατέρου
rose-up having-drawn the sword by-good-fortune and of-both
διὰ τὸν θυμὸν καὶ τὸν οἶνον ἔπεσε σφαλείς. ὁ δὲ
through the anger and the wine he-fell having-slipped — and
Ἀλέξανδρος ἐφυβρίζων, "οὗτος μέντοι," εἶπεν, "ἄνδρες,
Alexander insulting this-man however he-said men
εἰς Ἀσίαν ἐξ Εὐρώπης παρεσκευάζετο διαβαίνειν, ὃς ἐπὶ
to Asia from Europe was-preparing to-cross who to
κλίνην ἀπὸ κλίνης διαβαίνων ἀνατέτραπται." μετὰ ταύτην
couch from couch crossing has-been-upset after this
τὴν παροινίαν ἀναλαβὼν τὴν Ὀλυμπιάδα καὶ καταστήσας
the drunken-insult having-taken-up — Olympias and having-settled-her
εἰς Ἤπειρον αὐτὸς ἐν Ἰλλυριοῖς διέτριβεν. ἐν τούτῳ
in Epirus himself among Illyrians was-staying in this
δὲ Δημάρατος ὁ Κορίνθιος, ξένος ὢν τῆς οἰκίας καὶ
and Demaratus the Corinthian guest-friend being of-the house and
παρρησίας μετέχων, ἀφίκετο πρὸς Φίλιππον. μετὰ δὲ
of-frankness having-a-share came to Philip after and
τὰς πρώτας δεξιώσεις καὶ φιλοφροσύνας ἐπερωτῶντος τοῦ
the first greetings and courtesies asking —
Φιλίππου πῶς ἔχουσιν ὁμονοίας πρὸς ἀλλήλους οἱ Ἕλληνες,
Philip how are of-concord toward one-another the Greeks
"πάνυ γοῦν," ἔφη, "σοι προσήκει, Φίλιππε, κήδεσθαι τῆς
very at-least he-said for-you it-befits Philip to-care-for —

Ἑλλάδος, ὃς τὸν οἶκον τὸν σεαυτοῦ στάσεως τοσαύτης
Greece who the house the your-own with-faction so-great
καὶ κακῶν ἐμπέπληκας." οὕτω δὴ συμφρονήσας ὁ
and evils have-filled so indeed having-come-to-his-senses —
Φίλιππος ἔπεμψε καὶ κατήγαγε πείσας διὰ τοῦ
Philip sent and brought-back having-persuaded-him through —
Δημαράτου τὸν Ἀλέξανδρον.
Demaratus — Alexander

ἐπεὶ δὲ Πιξόδαρος, ὁ Καρίας σατράπης, ὑποδυόμενος
when and Pixodarus the of-Caria satrap trying-to-slip
δι' οἰκειότητος εἰς τὴν Φιλίππου συμμαχίαν, ἐβούλετο
by marriage-connection into the of-Philip alliance wished
τὴν πρεσβυτάτην τῶν θυγατέρων Ἀρριδαίῳ τῷ Φιλίππου
the eldest of-the daughters to-Arrhidaeus the son-of-Philip
γυναῖκα δοῦναι καὶ περὶ τούτων Ἀριστόκριτον εἰς
as-wife to-give and about these-things Aristocritus to
Μακεδονίαν ἀπέστειλεν, αὖθις ἐγίνοντο λόγοι καὶ διαβολαὶ
Macedonia sent again there-arose talk and slanders
παρὰ τῶν φίλων καὶ τῆς μητρὸς πρὸς Ἀλέξανδρον ὡς
from the friends and the mother to Alexander as
Ἀρριδαῖον ἐπὶ τῇ βασιλείᾳ Φιλίππου γάμοις λαμπροῖς καὶ
Arrhidaeus for the kingship Philip by-a-marriage brilliant and
πράγμασι μεγάλοις εἰσοικειοῦντος. ὑφ' ὧν διαταραχθεὶς
by-affairs great establishing by which having-been-disturbed
πέμπει Θεσσαλὸν εἰς Καρίαν, τὸν τῶν τραγῳδιῶν
sends Thessalus to Caria the of-the tragedies
ὑποκριτήν, Πιξοδάρῳ διαλεξόμενον ὡς χρὴ τὸν νόθον
actor to-Pixodarus going-to-argue that it-is-needful the bastard
ἐάσαντα, καὶ οὐ φρενήρη, μεθαρμόσασθαι τὸ κῆδος εἰς
having-dismissed and not sound-of-mind to-shift the alliance to
Ἀλέξανδρον. καὶ Πιξοδάρῳ μὲν οὐ παρὰ μικρὸν ἤρεσκε
Alexander and to-Pixodarus indeed not by little pleased

ταῦτα τῶν προτέρων μᾶλλον ὁ δὲ Φίλιππος αἰσθόμενος,
these-things than-the former more — and Philip having-perceived
ἰὼν εἰς τὸ Ἀλεξάνδρου δωμάτιον, παραλαβὼν τῶν φίλων
going to the of-Alexander chamber having-taken of-the friends
αὐτοῦ καὶ συνήθων ἕνα, Φιλώταν τὸν Παρμενίωνος,
his and intimates one Philotas the son-of-Parmenio
ἐπετίμησεν ἰσχυρῶς, καὶ πικρῶς ἐλοιδόρησεν ὡς ἀγεννῆ
rebuked-him strongly and bitterly reviled-him as ignoble
καὶ τῶν ὑπαρχόντων περὶ αὐτὸν ἀγαθῶν ἀνάξιον, εἰ
and of-the existing about him goods unworthy if
Καρὸς ἀνθρώπου καὶ βαρβάρῳ βασιλεῖ δουλεύοντος
of-a-Carian man and to-a-barbarian king slave
ἀγαπᾷ γαμβρὸς γενέσθαι. τὸν δὲ Θεσσαλὸν ἔγραψε
he-is-content son-in-law to-become — and Thessalus he-wrote
Κορινθίοις ὅπως ἀναπέμψωσιν ἐν πέδαις δεδεμένον. τῶν δὲ
to-Corinthians that they-should-send-up in fetters bound of-the and
ἄλλων ἑταίρων Ἅρπαλον καὶ Νέαρχον, ἔτι δ' Ἐρίγυιον
other companions Harpalus and Nearchus further and Erigyius
καὶ Πτολεμαῖον ἐκ Μακεδονίας μετέστησεν, οὓς ὕστερον
and Ptolemy from Macedonia he-banished whom later
Ἀλέξανδρος καταγαγὼν ἐν ταῖς μεγίσταις ἔσχε τιμαῖς.
Alexander having-recalled in the greatest held honors
ἐπεὶ δὲ Παυσανίας Ἀττάλου γνώμῃ καὶ Κλεοπάτρας
when and Pausanias of-Attalus by-the-intent and of-Cleopatra
ὑβρισθεὶς καὶ μὴ τυχὼν δίκης ἀνεῖλε Φίλιππον,
having-been-outraged and not having-obtained justice killed Philip
τὸ μὲν πλεῖστον εἰς Ὀλυμπιάδα τῆς αἰτίας περιῆλθεν,
the indeed most to Olympias of-the blame came
ὡς θυμουμένῳ τῷ νεανίσκῳ προσεγκελευσαμένην καὶ
that being-enraged the young-man having-urged-on and
παροξύνασαν, ἔθιγε δέ τις καὶ Ἀλεξάνδρου διαβολή. λέγεται
having-exasperated touched and some also Alexander slander is-said

γὰρ ἐντυχόντος αὐτῷ τοῦ Παυσανίου μετὰ τὴν ὕβριν ἐκείνην
for having-met him — Pausanias after the outrage that
καὶ ἀποδυρομένου προενέγκασθαι τὸ τῆς Μηδείας ἰαμβεῖον·
and lamenting to-have-quoted the of-the Medea iambic

τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην.
the giver and bridegroom and bride

οὐ μὴν ἀλλὰ καὶ τοὺς συναιτίους τῆς ἐπιβουλῆς ἀναζητήσας
not indeed but also the accomplices of-the plot having-sought-out
ἐκόλασε, καὶ τὴν Κλεοπάτραν ἀποδημοῦντος αὐτοῦ τῆς
he-punished and — Cleopatra being-abroad him —
Ὀλυμπιάδος ὠμῶς μεταχειρισαμένης ἠγανάκτησε.
Olympias cruelly having-treated he-was-indignant

11 παρέλαβε μὲν οὖν ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν,
he-took-over indeed then years having-been twenty the kingship
φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν
envies great and terrible hatreds and dangers from-all-sides
ἔχουσαν. οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη τὴν
having neither for the barbarous and neighboring peoples the
δούλωσιν ἔφερε, ποθοῦντα τὰς πατρίους βασιλείας, οὔτε
slavery bore longing-for the ancestral kingdoms nor
τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος οἷον
— Greece having-mastered with-the arms — Philip so-as
καταζεῦξαι καὶ τιθασεῦσαι χρόνον ἔσχεν, ἀλλὰ μόνον
to-yoke and to-tame time had but only
μεταβαλὼν καὶ ταράξας τὰ πράγματα πολὺν σάλον
having-changed and having-disturbed the affairs much tossing
ἔχοντα καὶ κίνησιν ὑπὸ ἀηθείας ἀπέλιπε. φοβουμένων δὲ
having and motion from unaccustomedness he-left fearing and
τῶν Μακεδόνων τὸν καιρόν, καὶ τὰ μὲν Ἑλληνικὰ πάντως
the Macedonians the crisis and the indeed Greek-affairs altogether

ἀφεῖναι καὶ μὴ προσβιάζεσθαι τὸν Ἀλέξανδρον οἰομένων
to-let-go and not to-force — Alexander thinking
δεῖν, τοὺς δὲ ἀφισταμένους τῶν βαρβάρων ἀνακαλεῖσθαι
it-needful the and revolting of-the barbarians to-recall
πρᾴως καὶ θεραπεύειν τὰς ἀρχὰς τῶν νεωτερισμῶν, αὐτὸς
gently and to-cure the beginnings of-the revolts himself
ἀπ᾽ ἐναντίων λογισμῶν ὥρμησε τόλμῃ καὶ μεγαλοφροσύνῃ
from contrary reasonings set-out by-daring and by-greatness-of-mind
κτᾶσθαι τὴν ἀσφάλειαν καὶ σωτηρίαν τοῖς πράγμασιν,
to-win the security and safety for-the affairs
ὡς, κἂν ὁτιοῦν ὑφιέμενος ὀφθῇ τοῦ φρονήματος,
as if-even anything-at-all yielding he-should-be-seen of-the spirit
ἐπιβησομένων ἁπάντων. τὰ μὲν οὖν βαρβαρικὰ κινήματα
going-to-set-on-him all the indeed then barbarian movements
καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν ὀξέως ἐπιδραμὼν
and the there wars he-stopped sharply having-overrun-them
στρατῷ μέχρι πρὸς τὸν Ἴστρον, ᾗ καὶ Σύρμον ἐνίκησε
with-an-army as-far-as to the Ister where also Syrmus he-conquered
μάχῃ μεγάλῃ, τὸν βασιλέα τῶν Τριβαλλῶν· Θηβαίους δὲ
in-a-battle great the king of-the Triballi Thebans and
ἀφεστάναι πυθόμενος καὶ συμφρονεῖν αὐτοῖς Ἀθηναίους,
to-have-revolted having-learned and to-be-in-league with-them Athenians
εὐθὺς ἦγε διὰ Πυλῶν τὴν δύναμιν, εἰπὼν ὅτι Δημοσθένει
at-once led through Pylae the force having-said that to-Demosthenes
παῖδα μὲν αὐτόν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς,
a-boy indeed him while he-was among Illyrians and Triballi
ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον,
calling a-youth and about Thessaly having-come
βούλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι.
he-wishes at the of-Athenians walls a-man to-appear
προσμίξας δὲ ταῖς Θήβαις καὶ διδοὺς ἔτι τῶν
having-approached and — Thebes and giving still for-the-things

πεπραγμένων μετάνοιαν ἐξήτει Φοίνικα καὶ Προθύτην,
done repentance he-demanded Phoenix and Prothytes
καὶ τοῖς μεταβαλλομένοις πρὸς αὐτὸν ἄδειαν ἐκήρυττε. τῶν
and to-those changing to him safety he-proclaimed the
δὲ Θηβαίων ἀντεξαιτούντων μὲν παρ᾽ αὐτοῦ Φιλώταν καὶ
and Thebans demanding-in-return indeed from him Philotas and
Ἀντίπατρον, κηρυττόντων δὲ τοὺς τὴν Ἑλλάδα βουλομένους
Antipater proclaiming and those — Greece wishing
συνελευθεροῦν τάττεσθαι μετ᾽ αὐτῶν, οὕτως ἔτρεψε τοὺς
to-help-free to-be-ranged with them so he-turned the
Μακεδόνας πρὸς πόλεμον. ἠγωνίσθη μὲν οὖν ὑπὲρ δύναμιν
Macedonians to war it-was-fought indeed then beyond strength
ἀρετῇ καὶ προθυμίᾳ παρὰ τῶν Θηβαίων πολλαπλασίοις οὖσι
with-valor and zeal by the Thebans many-times-more being
τοῖς πολεμίοις ἀντιταχθέντων· ἐπεὶ δὲ καὶ τὴν Καδμείαν
the enemies having-been-arrayed-against when and also — Cadmea
ἀφέντες οἱ φρουροὶ τῶν Μακεδόνων ἐπέπιπτον αὐτοῖς
having-left the garrison of-the Macedonians fell-upon them
ἐξόπισθεν, κυκλωθέντες οἱ πλεῖστοι κατὰ τὴν μάχην αὐτὴν
from-behind surrounded the most in the battle itself
ἔπεσον, ἡ δὲ πόλις ἥλω καὶ διαρπασθεῖσα κατεσκάφη, τὸ
fell the and city was-taken and having-been-plundered was-razed the
μὲν ὅλον προσδοκήσαντος αὐτοῦ τοὺς Ἕλληνας ἐκπλαγέντας
indeed whole having-expected him the Greeks terrified
πάθει τηλικούτῳ καὶ πτήξαντας ἀτρεμήσειν, ἄλλως
by-a-calamity so-great and cowed to-be-going-to-keep-quiet otherwise
δὲ καὶ καλλωπισαμένου χαρίζεσθαι τοῖς τῶν συμμάχων
but also having-prided-himself to-gratify the of-the allies
ἐγκλήμασι· καὶ γὰρ Φωκεῖς καὶ Πλαταιεῖς τῶν Θηβαίων
complaints also for Phocians and Plataeans the Thebans
κατηγόρησαν. ὑπεξελόμενος δὲ τοὺς ἱερεῖς καὶ τοὺς
accused having-excepted and the priests and the

ξένους τῶν Μακεδόνων ἅπαντας καὶ τοὺς ἀπὸ Πινδάρου
guest-friends of-the Macedonians all and those from Pindar
γεγονότας καὶ τοὺς ὑπεναντιωθέντας τοῖς ψηφισαμένοις
descended and those having-opposed those having-voted
τὴν ἀπόστασιν, ἀπέδοτο τοὺς ἄλλους περὶ τρισμυρίους
the revolt he-sold the others about thirty-thousand
γενομένους· οἱ δὲ ἀποθανόντες ὑπὲρ ἑξακισχιλίους ἦσαν.
being those and having-died over six-thousand were
ἐν δὲ τοῖς πολλοῖς πάθεσι καὶ χαλεποῖς ἐκείνοις ἃ τὴν 12
in and the many sufferings and grievous those which the
πόλιν κατεῖχε, Θρᾷκές τινες ἐκκόψαντες οἰκίαν Τιμοκλείας,
city held Thracians some having-broken-into the-house of-Timocleia
γυναικὸς ἐνδόξου καὶ σώφρονος, αὐτοὶ μὲν τὰ χρήματα
a-woman distinguished and chaste themselves indeed the goods
διήρπαζον, ὁ δὲ ἡγεμὼν τῇ γυναικὶ πρὸς βίαν συγγενόμενος
plundered the and leader the woman by force having-lain-with
καὶ καταισχύνας, ἀνέκρινεν εἴ που χρυσίον ἔχοι
and having-dishonored asked whether anywhere gold she-had
κεκρυμμένον ἢ ἀργύριον. ἡ δὲ ἔχειν ὡμολόγησε, καὶ μόνον
hidden or silver she and to-have-it agreed and alone
εἰς τὸν κῆπον ἀγαγοῦσα καὶ δείξασα φρέαρ, ἐνταῦθα ἔφη
into the garden having-led and having-shown a-well there she-said
τῆς πόλεως ἁλισκομένης καταβαλεῖν αὐτὴ τὰ τιμιώτατα τῶν
the city being-taken to-have-thrown herself the most-precious of-the
χρημάτων. ἐγκύπτοντος δὲ τοῦ Θρᾳκὸς καὶ κατασκεπτομένου
goods stooping-over and the Thracian and looking-into
τὸν τόπον, ἔωσεν αὐτὸν ἐξόπισθεν γενομένη, καὶ τῶν λίθων
the place she-pushed him from-behind having-got and of-the stones
ἐπεμβαλοῦσα πολλοὺς ἀπέκτεινεν. ὡς δὲ ἀνήχθη πρὸς
having-thrown-on many killed when and she-was-brought-up to
Ἀλέξανδρον ὑπὸ τῶν Θρᾳκῶν δεδεμένη, πρῶτον μὲν ἀπὸ
Alexander by the Thracians bound first indeed from

τῆς ὄψεως καὶ τῆς βαδίσεως ἐφάνη τις ἀξιωματικὴ
the appearance and the gait she-appeared some-one dignified
καὶ μεγαλόφρων, ἀνεκπλήκτως καὶ ἀδεῶς ἑπομένη τοῖς
and high-minded undauntedly and fearlessly following those
ἄγουσιν· ἔπειτα τοῦ βασιλέως ἐρωτήσαντος ἥτις εἴη
leading then the king having-asked who she-might-be
γυναικῶν, ἀπεκρίνατο Θεαγένους ἀδελφὴ γεγονέναι, τοῦ
of-women she-answered of-Theagenes the-sister to-have-been the
παραταξαμένου πρὸς Φίλιππον ὑπὲρ τῆς τῶν Ἑλλήνων
having-arrayed-himself against Philip for the of-the Greeks
ἐλευθερίας καὶ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος.
freedom and having-fallen at Chaeronea being-general
θαυμάσας οὖν ὁ Ἀλέξανδρος αὐτῆς καὶ τὴν ἀπόκρισιν καὶ
having-admired then — Alexander her both the answer and
τὴν πρᾶξιν, ἐκέλευσεν ἐλευθέραν ἀπιέναι μετὰ τῶν τέκνων.
the deed ordered free to-go-away with the children
13 Ἀθηναίοις δὲ διηλλάγη, καίπερ οὐ μετρίως ἐνεγκοῦσι
with-Athenians and he-was-reconciled though not moderately having-borne
τὸ περὶ Θήβας δυστύχημα· καὶ γὰρ τὴν τῶν μυστηρίων
the about Thebes misfortune and for the of-the mysteries
ἑορτὴν ἐν χερσὶν ἔχοντες ὑπὸ πένθους ἀφῆκαν, καὶ
festival in hand having from grief they-abandoned and
τοῖς καταφυγοῦσιν ἐπὶ τὴν πόλιν ἁπάντων μετεδίδοσαν
to-those having-fled to the city all they-shared
τῶν φιλανθρώπων. ἀλλ᾽ εἴτε μεστὸς ὢν ἤδη τὸν
the kindnesses but whether full being already the
θυμόν, ὥσπερ οἱ λέοντες, εἴτε ἐπιεικὲς ἔργον ὠμοτάτῳ
anger as the lions or a-reasonable deed with-the-most-cruel
καὶ σκυθρωποτάτῳ παραβαλεῖν βουλόμενος, οὐ μόνον
and most-grim to-set-beside wishing not only
ἀφῆκεν αἰτίας πάσης, ἀλλὰ καὶ προσέχειν ἐκέλευσε
he-released-from charge every but also to-apply he-bade

τοῖς πράγμασι τὸν νοῦν τὴν πόλιν, ὡς, εἴ τι συμβαίη
to-the affairs the mind the city as if anything should-happen
περὶ αὐτόν, ἄρξουσαν τῆς Ἑλλάδος. ὕστερον μέντοι
about him going-to-rule-over — Greece later however
πολλάκις αὐτὸν ἡ Θηβαίων ἀνιᾶσαι συμφορὰ λέγεται
often him the of-Thebans to-have-grieved calamity is-said
καὶ πραότερον οὐκ ὀλίγοις παρασχεῖν. ὅλως δὲ καὶ τὸ
and more-gentle not to-few to-have-made generally and also the
περὶ Κλεῖτον ἔργον ἐν οἴνῳ γενόμενον καὶ τὴν πρὸς
about Cleitus deed in wine having-happened and the toward
Ἰνδοὺς τῶν Μακεδόνων ἀποδειλίασιν, ὥσπερ ἀτελῆ τὴν
Indians of-the Macedonians cowardice as-if unfinished the
στρατείαν καὶ τὴν δόξαν αὐτοῦ προεμένων, εἰς μῆνιν
expedition and the glory his having-abandoned to wrath
ἀνῆγε Διονύσου καὶ νέμεσιν. ἦν δὲ Θηβαίων οὐδεὶς τῶν
he-referred of-Dionysus and retribution was and of-Thebans no-one of-those
περιγενομένων ὃς ἐντυχών τι καὶ δεηθεὶς ὕστερον
surviving who having-met-him anything and having-asked later
οὐ διεπράξατο παρ᾽ αὐτοῦ. ταῦτα μὲν τὰ περὶ Θήβας.
not obtained from him these-things indeed the-things about Thebes

The Greeks at the Isthmus named Alexander their leader against Persia, and at Corinth Diogenes, lying in the sun, asked only that he stand out of his light; Alexander said that were he not Alexander he would be Diogenes. Delphi's priestess cried he was invincible. He crossed to Asia with a small army and little money, honored Achilles' grave at Troy, and charged across the Granicus against Parmenio's advice; Cleitus ran Spithridates through as he struck at him. Sardis and the coast came over, and Plutarch sets the tale of the sea giving way in Pamphylia against Alexander's own plain letters.

14 εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων καὶ
at and the Isthmus the Greeks having-assembled and
ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν
having-voted against Persians with Alexander to-campaign
ἡγεμὼν ἀνηγορεύθη. πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν
leader he-was-proclaimed many and both statesmen men
καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ καὶ συνηδομένων,
and philosophers having-come-to-meet him and congratulating
ἤλπιζε καὶ Διογένην τὸν Σινωπέα ταὐτὸ ποιήσειν,
he-expected also Diogenes the Sinopean the-same to-be-going-to-do
διατρίβοντα περὶ Κόρινθον. ὡς δὲ ἐκεῖνος ἐλάχιστον
staying about Corinth when but he least
Ἀλεξάνδρου λόγον ἔχων ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν,
of-Alexander account taking in the Craneum leisure was-enjoying
αὐτὸς ἐπορεύετο πρὸς αὐτόν· ἔτυχε δὲ κατακείμενος ἐν
himself went to him he-happened and lying in
ἡλίῳ. καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων
sun and a-little indeed sat-up men so-many
ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον. ὡς
coming-up and looked at — Alexander when
δὲ ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν
and he having-greeted and having-addressed him asked

εἴ τινος τυγχάνει δεόμενος, "μικρὸν" εἶπεν, "ἀπὸ τοῦ
whether anything he-happens needing a-little he-said from the
ἡλίου μετάστηθι." πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον
sun stand-aside at this is-said — Alexander
to-them perplexing having-said to-be-going-to-kill the not rightly
ἀποκρινάμενον πρῶτον, εἶτα ἐφεξῆς οὕτω τοὺς ἄλλους· ἕνα
having-answered first then in-order so the others one
δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. ὁ μὲν οὖν πρῶτος
and the eldest he-ordered to-judge the indeed then first
ἐρωτηθεὶς πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας
having-been-asked whether he-thinks the living to-be more
ἢ τοὺς τεθνηκότας, ἔφη τοὺς ζῶντας· οὐκέτι γὰρ εἶναι
than the having-died he-said the living no-longer for to-be
τοὺς τεθνηκότας. ὁ δὲ δεύτερος, πότερον τὴν γῆν ἢ τὴν
the having-died the and second whether the earth or the
θάλατταν μείζονα τρέφειν θηρία, τὴν γῆν· ταύτης γὰρ
sea larger to-rear beasts the earth of-this for

μέρος εἶναι τὴν θάλατταν. ὁ δὲ τρίτος, ποῖόν ἐστι ζῷον
part to-be the sea the and third what-kind is animal
πανουργότατον, "ὃ μέχρι νῦν," εἶπεν, "ἄνθρωπος οὐκ
most-cunning which until now he-said man not
ἔγνωκεν." ὁ δὲ τέταρτος ἀνακρινόμενος τίνι λογισμῷ τὸν
has-come-to-know the and fourth being-questioned by-what reasoning —
Σάββαν ἀπέστησεν, ἀπεκρίνατο, "καλῶς ζῆν βουλόμενος
Sabbas he-made-revolt answered nobly to-live wishing
αὐτὸν ἢ καλῶς ἀποθανεῖν." ὁ δὲ πέμπτος ἐρωτηθεὶς
him or nobly to-die the and fifth having-been-asked
πότερον οἴεται τὴν ἡμέραν ἢ τὴν νύκτα προτέραν γεγονέναι,
whether he-thinks the day or the night earlier to-have-been
"τὴν ἡμέραν," εἶπεν, "ἡμέρᾳ μιᾷ" καὶ προσεπεῖπεν οὗτος,
the day he-said by-day one and added this-one
θαυμάσαντος τοῦ βασιλέως, ὅτι τῶν ἀπόρων ἐρωτήσεων
having-wondered the king that of-the perplexing questions
ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. μεταβαλὼν οὖν
necessary also the answers perplexing to-be having-changed then
τὸν ἕκτον ἠρώτα πῶς ἄν τις φιληθείη μάλιστα· "ἂν
the sixth he-asked how — one might-be-loved most if
κράτιστος ὤν," ἔφη, "μὴ φοβερὸς ᾖ." τῶν δὲ λοιπῶν τριῶν
most-powerful being he-said not fearsome he-be of-the and remaining three
ὁ μὲν ἐρωτηθεὶς πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο
the indeed having-been-asked how — one from men might-become
θεός, "εἴ τι πράξειεν," εἶπεν, "ὃ πρᾶξαι δυνατὸν
a-god if something he-should-do he-said which to-do possible
ἀνθρώπῳ μὴ ἔστιν·" ὁ δὲ περὶ ζωῆς καὶ θανάτου, πότερον
for-a-man not is the and about life and death which
ἰσχυρότερον, ἀπεκρίνατο τὴν ζωὴν τοσαῦτα κακὰ φέρουσαν.
stronger answered the life so-many evils bearing
ὁ δὲ τελευταῖος, μέχρι τίνος ἀνθρώπῳ καλῶς ἔχον ζῆν,
the and last until what-point for-a-man nobly being to-live

"μέχρι οὗ μὴ νομίζει τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον."
until — not he-thinks the being-dead than-the living better
οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν ἐκέλευσεν
so indeed having-turned to the judge he-ordered
ἀποφαίνεσθαι. τοῦ δὲ ἕτερον ἑτέρου χεῖρον εἰρηκέναι
to-declare he and one than-another worse to-have-spoken
φήσαντος "οὐκοῦν," ἔφη, "σὺ πρῶτος ἀποθανῇ τοιαῦτα
having-said then he-said you first will-die such-things
κρίνων." "οὐκ ἄν γε," εἶπεν, "ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ
judging not — at-least he-said O king if not you lie
φήσας πρῶτον ἀποκτενεῖν τὸν ἀποκρινάμενον κάκιστα."
having-said first to-be-going-to-kill the having-answered worst
τούτους μὲν οὖν ἀφῆκε δωρησάμενος· πρὸς δὲ τοὺς 65
these indeed then he-released having-given-gifts to and those
ἐν δόξῃ μάλιστα καὶ καθ' αὑτοὺς ἐν ἡσυχίᾳ ζῶντας
in repute most and by themselves in quiet living
ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. ὁ
he-sent Onesicritus to-come asking to him —
δὲ Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ κυνικῷ
and Onesicritus was a-philosopher of-those with-Diogenes the Cynic
συνεσχολακότων. καί φησι τὸν μὲν Καλανὸν ὑβριστικῶς
having-studied and he-says — indeed Calanus insolently
πάνυ καὶ τραχέως κελεύειν ἀποδύντα τὸν χιτῶνα γυμνὸν
very and harshly to-bid having-stripped-off the tunic naked
ἀκροᾶσθαι τῶν λόγων· ἄλλως δὲ οὐ διαλέξεσθαι πρὸς
to-listen to-the words otherwise and not to-be-going-to-converse with
αὐτόν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται τὸν δὲ Δάνδαμιν
him not-even if from — Zeus he-has-come — and Dandamis
πραότερον εἶναι, καὶ διακούσαντα περὶ Σωκράτους καὶ
gentler to-be and having-heard about Socrates and
Πυθαγόρου καὶ Διογένους εἰπεῖν ὡς εὐφυεῖς μὲν αὐτῷ
Pythagoras and Diogenes to-have-said that well-endowed indeed to-him

γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους
to-have-been seem the men too-much but the laws
αἰσχυνόμενοι βεβιωκέναι. ἄλλοι δέ φασι τὸν Δάνδαμιν
revering to-have-lived others and say — Dandamis
οὐδὲν εἰπεῖν ἀλλ' ἢ τοσοῦτον μόνον "τίνος χάριν
nothing to-have-said but than so-much only for-what sake
ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην δεῦρ' ἦλθε;" τὸν μέντοι
— Alexander a-journey so-long hither came — however
Καλανὸν ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον.
Calanus persuaded — Taxiles to-come to Alexander
ἐκαλεῖτο δὲ Σφίνης· ἐπεὶ δὲ κατ' Ἰνδικὴν γλῶτταν τῷ
was-called and Sphines since and in the-Indian tongue with-the
καλὲ προσαγορεύων ἀντὶ τοῦ χαίρειν τοὺς ἐντυγχάνοντας
kalé addressing instead-of the chaire those meeting-him
ἠσπάζετο, Καλανὸς ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. τοῦτον
he-greeted Calanus by the Greeks he-was-named this-one
δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ
and is-said also the illustration of-the rule — to-Alexander
προθέσθαι. καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν
to-have-set-before having-thrown-down for in the-middle a-hide some dry
καὶ κατεσκληκυῖαν ἐπάτησε τὸ ἄκρον· ἡ δὲ εἰς ἓν πιεσθεῖσα
and shriveled he-trod-on the edge it and in one pressed
τοῖς ἄλλοις ἐπήρθη μέρεσι. καὶ τοῦτο περιϊὼν ἐν κύκλῳ καὶ
in-the other rose parts and this going-around in a-circle and
πιέζων καθ' ἕκαστον ἐδείκνυε γιγνόμενον, ἄχρι οὗ τὸ μέσον
pressing at each he-showed happening until — the middle
ἐπιστὰς κατέσχε καὶ πάντα οὕτως ἠρέμησεν. ἐβούλετο δὲ ἡ
standing-on he-held-down and all-of-it thus was-still wished and the
εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς
image a-demonstration to-be of-the the middle-parts it-needful most of-the
ἀρχῆς πιέζειν καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον.
rule to-press and not far to-wander — Alexander

ἡ δὲ διὰ τῶν ποταμῶν πρὸς τὴν θάλατταν ὑπαγωγὴ 66
the and through the rivers to the sea descent
μηνῶν ἑπτὰ χρόνον ἀνάλωσεν. ἐμβαλὼν δὲ ταῖς ναυσὶν
of-months seven time consumed having-sailed and with-the ships
εἰς τὸν Ὠκεανὸν ἀνέπλευσε πρὸς νῆσον ἣν Σκιλλοῦστιν
into the Ocean he-sailed-up to an-island which Scillustis
αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν. ἐνταῦθα δὲ ἀποβὰς
himself named others but Psiltucis there and having-landed
ἔθυε τοῖς θεοῖς, καὶ τὴν φύσιν ἐπεῖδε τοῦ πελάγους καὶ
he-sacrificed to-the gods and the nature observed of-the sea and
τῆς παραλίας ὅσον ἐφικτὸν ἦν. εἶτα ἐπευξάμενος μηδένα
of-the coast as-far-as attainable was then having-prayed no-one
μετ' αὐτὸν ἀνθρώπων ὑπερβῆναι τοὺς ὅρους τῆς στρατείας
after him of-men to-pass the limits of-the expedition
ἀνέστρεφε. καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν ἐν δεξιᾷ
he-turned-back and the indeed ships he-ordered to-sail-around on the-right
τὴν Ἰνδικὴν ἐχούσας, ἡγεμόνα μὲν Νέαρχον ἀποδείξας,
— India having as-commander indeed Nearchus having-appointed
ἀρχικυβερνήτην δὲ Ὀνησίκριτον· αὐτὸς δὲ πεζῇ δι'
as-chief-pilot and Onesicritus himself and on-foot through
Ὠρειτῶν πορευόμενος εἰς ἐσχάτην ἀπορίαν προήχθη καὶ
Oreitae marching into extreme want he-was-brought and
πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως
a-multitude of-men lost so-that of-the fighting force
μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. καίτοι
not-even the fourth-part from — India to-lead-away and-yet
δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοί, τὸ δ' ἱππικὸν εἰς
twelve indeed ten-thousands were the foot the and cavalry up-to
μυρίους καὶ πεντακισχιλίους. ἀλλὰ καὶ νόσοι χαλεπαὶ καὶ
ten-thousand and five-thousand but also diseases severe and
δίαιται πονηραὶ καὶ καύματα ξηρὰ καὶ πλείστους ὁ λιμὸς
diets bad and heats dry and most the famine

διέφθειρεν, ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων,
destroyed unsown country traversing of-men living-wretchedly
ὀλίγα καὶ ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους
few and ignoble sheep possessing which the of-the-sea
ἰχθῦς εἰθισμένα προσφέρεσθαι σάρκα μοχθηρὰν εἶχε καὶ
fishes accustomed to-eat flesh wretched had and
δυσώδη. μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην διελθὼν
ill-smelling barely then in days sixty this having-traversed
καὶ τῆς Γεδρωσίας ἁψάμενος εὐθὺς ἐν ἀφθόνοις ἦν πᾶσι,
and — Gedrosia having-reached at-once in abundant he-was all-things
τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων.
the nearest satraps and kings having-provided
67 ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν ἐξώρμησε κώμῳ
having-restored then there the force he-set-out a-revel
χρώμενος ἐφ' ἡμέρας ἑπτὰ διὰ τῆς Καρμανίας. αὐτὸν
using for days seven through — Carmania him
μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτώ, μετὰ τῶν ἑταίρων
indeed then horses slowly carried eight with the companions
ὑπὲρ θυμέλης ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυίας
upon a-platform on a-high and conspicuous frame fixed
εὐωχούμενον συνεχῶς ἡμέρας καὶ νυκτός· ἅμαξαι δὲ
feasting continuously by-day and night wagons and
παμπληθεῖς, αἱ μὲν ἁλουργοῖς καὶ ποικίλοις περιβολαίοις,
very-many the-ones indeed with-purple and embroidered coverings
αἱ δ' ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι
the-others and of-wood always fresh and green shaded
κλάδοις, εἵποντο τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας
with-boughs followed the other carrying friends and commanders
ἐστεφανωμένους καὶ πίνοντας. εἶδες δ' ἂν οὐ
garlanded and drinking you-would-have-seen and — not
πέλτην, οὐ κράνος, οὐ σάρισαν, ἀλλὰ φιάλαις καὶ ῥυτοῖς
light-shield not helmet not pike but with-bowls and drinking-horns

καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ στρατιῶται
and Thericlean-cups along the road all the soldiers
βαπτίζοντες ἐκ πίθων μεγάλων καὶ κρατήρων ἀλλήλοις
dipping from casks great and mixing-bowls to-one-another
προέπινον, οἱ μὲν ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν,
pledged the-ones indeed in the advancing at-once and walking
οἱ δὲ κατακείμενοι. πολλὴ δὲ μοῦσα συρίγγων καὶ
the-others and reclining much and music of-pipes and
αὐλῶν ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας γυναικῶν κατεῖχε
flutes of-song both and harping and revelry of-women filled
πάντα τόπον. τῷ δὲ ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας
every place to-the and disorderly and wandering of-the march
παρείπετο καὶ παιδιὰ βακχικῆς ὕβρεως, ὡς τοῦ θεοῦ
accompanied also play of-Bacchic insolence as-though the god
παρόντος αὐτοῦ καὶ συμπαραπέμποντος τὸν κῶμον. ἐπεὶ δὲ
being-present himself and joining-in-escorting the revel when and
ἦκε τῆς Γεδρωσίας εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν
he-came — of-Gedrosia to the palace again he-refreshed the
στρατιὰν πανηγυρίζων. λέγεται δὲ μεθύοντα αὐτὸν θεωρεῖν
army holding-festival it-is-said and drunk him to-watch
ἀγῶνας χορῶν, τὸν δὲ ἐρώμενον Βαγώαν χορεύοντα
contests of-choruses the and beloved Bagoas dancing
νικῆσαι καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου παρελθόντα
to-win and adorned through the theater having-passed
καθίσαι παρ᾽ αὐτόν· ἰδόντας δὲ τοὺς Μακεδόνας κροτεῖν καὶ
to-sit beside him having-seen and the Macedonians to-applaud and
βοᾶν φιλῆσαι κελεύοντας, ἄχρι οὗ περιβαλὼν κατεφίλησεν.
to-shout to-kiss bidding until — having-embraced he-kissed-him

Nearchus reported his voyage; revolts had spread in Alexander's absence, and Olympias and Cleopatra split the realm. He punished bad governors and executed the man who dug through Cyrus' tomb. Calanus mounted his pyre, foretelling he would see Alexander soon in Babylon. A drinking contest killed forty-two. At Susa he married Darius' daughter Stateira, gave Persian brides to his companions, and paid the army's debts. The Macedonians, jealous of the Persian youths and stung when he sent home the unfit, bade him dismiss them all; he took a Persian guard until their pleading made him weep and forgive.

68 ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν ἡσθεὶς καὶ
there those about Nearchus having-come-up to him pleased and
διακούσας τὰ περὶ τὸν πλοῦν, ὥρμησεν αὐτὸς πλεύσας
having-heard the-things about the voyage he-was-eager himself having-sailed
κατὰ τὸν Εὐφράτην στόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν
down the Euphrates with-fleet great then around — Arabia
καὶ τὴν Λιβύην παρακομισθεὶς διὰ στηλῶν Ἡρακλείων
and — Libya having-coasted through the-Pillars of-Heracles
ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. καὶ πλοῖα παντοδαπὰ περὶ
to-put-in into the inner sea and boats of-all-kinds at
Θάψακον ἐπήγνυτο, καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται
Thapsacus were-being-built and were-being-gathered sailors and pilots
πανταχόθεν. ἡ δὲ ἄνω στρατεία χαλεπὴ γενομένη καὶ
from-everywhere the but up-country expedition difficult having-been and
τὸ περὶ Μαλλοὺς τραῦμα καὶ ἡ φθορὰ πολλὴ λεχθεῖσα
the at Malli wound and the loss great reported
τῆς δυνάμεως ἀπιστίᾳ τῆς σωτηρίας αὐτοῦ τά τε ὑπήκοα
of-the force from-distrust of-the safety his the both subjects
πρὸς ἀποστάσεις ἐπῆρε καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις
to revolts incited and in-the generals and satraps
ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν ἐνεποίησε· καὶ
injustice much and greed and insolence produced and

ὅλως διέδραμε σάλος ἁπάντων καὶ νεωτερισμός. ὅπου καὶ
in-a-word ran-through tossing of-all and innovation where also
πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα στασιάσασαι
against Antipater Olympias and Cleopatra having-made-faction
διείλοντο τὴν ἀρχήν, Ὀλυμπιὰς μὲν Ἤπειρον, Κλεοπάτρα δὲ
divided the rule Olympias indeed Epirus Cleopatra and
Μακεδονίαν παραλαβοῦσα. καὶ τοῦτο ἀκούσας Ἀλέξανδρος
Macedonia having-taken and this having-heard Alexander
βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα· Μακεδόνας γὰρ οὐκ
better he-said to-have-planned the mother Macedonians for not
ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. διὰ ταῦτα
— *to-endure being-ruled by a-woman because-of these-things*
Νέαρχον μὲν αὖθις ἐπὶ θάλασσαν ἔπεμψεν, ἐμπλῆσαι
Nearchus indeed again to sea he-sent to-fill
πολέμων ἅπασαν ἐγνωκὼς τὴν παραλίαν, αὐτὸς δὲ
with-wars all having-determined the coast himself and
καταβαίνων ἐκόλαζε τοὺς πονηροὺς τῶν στρατηγῶν. τῶν
coming-down he-punished the wicked of-the generals of-the
δὲ Ἀβουλήτου παίδων ἕνα μὲν Ὀξυάρτην αὐτὸς ἀπέκτεινε
and of-Abuletes sons one indeed Oxyartes himself killed
σαρίσῃ διελάσας, Ἀβουλήτου δὲ μηδὲν τῶν ἀναγκαίων
with-a-pike having-run-through Abuletes and nothing of-the necessaries
παρασκευάσαντος, ἀλλ᾽ ἢ τρισχίλια τάλαντα νομίσματος
having-provided but than three-thousand talents of-coin
αὐτῷ προσαγαγόντος, ἐκέλευσε τοῖς ἵπποις τὸ ἀργύριον
to-him having-brought he-ordered to-the horses the silver
παραβαλεῖν. ὡς δ᾽ οὐκ ἐγεύοντο, φήσας, "τί οὖν ὄφελος
to-throw-beside when and not they-tasted having-said what then use
ἡμῖν τῆς σῆς παρασκευῆς;" καθεῖρξε τὸν Ἀβουλήτην.
to-us of-the your provision he-shut-up — Abuletes

69 ἐν δὲ Πέρσαις πρῶτον μὲν ἀπέδωκε τὸ νόμισμα ταῖς
in and Persia first indeed he-gave-out the coin to-the
γυναιξίν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς, ὁσάκις εἰς Πέρσας
women as were-accustomed the kings as-often-as into Persia
ἀφίκοιντο, διδόναι χρυσοῦν ἑκάστῃ. καὶ διὰ τοῦτο
they-came to-give a-gold-piece to-each and because-of this
φασιν ἐνίους μὴ πολλάκις, Ὦχον δὲ μηδὲ ἅπαξ εἰς
they-say some not often Ochus and not-even once into
Πέρσας παραγενέσθαι, διὰ μικρολογίαν ἀποξενώσαντα
Persia to-have-come through stinginess having-estranged
τῆς πατρίδος ἑαυτόν. ἔπειτα τὸν Κύρου τάφον εὑρὼν
from-the fatherland himself then the of-Cyrus tomb having-found
διορωρυγμένον ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος ἦν
dug-through he-killed the having-done-wrong and-yet of-Pella was
οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. τὴν
not of-the most-obscure the having-offended by-name Polymachus the
δὲ ἐπιγραφὴν ἀναγνοὺς ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι
and inscription having-read he-ordered in-Greek to-engrave-below
γράμμασιν. εἶχε δὲ οὕτως· "ὦ ἄνθρωπε, ὅστις εἶ καὶ
letters it-had and thus O man whoever you-are and
ὅθεν ἥκεις, ὅτι μὲν γὰρ ἥξεις, οἶδα, ἐγὼ Κῦρός εἰμι
whence you-come that indeed for you-will-come I-know I Cyrus am
ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. μὴ οὖν τῆς ὀλίγης μοι
the for-Persians having-won the empire not then the little to-me
ταύτης γῆς φθονήσῃς ἣ τοὐμὸν σῶμα περικαλύπτει."
this earth begrudge which my body covers
ταῦτα μὲν οὖν ἐμπαθῆ σφόδρα τὸν Ἀλέξανδρον ἐποίησεν,
these-things indeed then much-moved greatly — Alexander made
ἐν νῷ λαβόντα τὴν ἀδηλότητα καὶ μεταβολήν. ὁ δὲ
in mind having-taken the uncertainty and change — and
Καλανὸς ἐνταῦθα χρόνον οὐ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς
Calanus there time not long by bowels troubled

ᾐτήσατο πυρὰν αὑτῷ γενέσθαι. καὶ κομισθεὶς ἵππῳ
asked a-pyre for-himself to-be-made and having-been-carried on-a-horse
πρὸς αὐτήν, ἐπευξάμενος καὶ κατασπείσας ἑαυτοῦ
to it having-prayed and having-poured-libation-over himself
καὶ τῶν τριχῶν ἀπαρξάμενος, ἀναβαίνων ἐδεξιοῦτο τοὺς
and of-the hairs having-offered-firstfruits mounting he-greeted the
παρόντας τῶν Μακεδόνων, καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην
present of-the Macedonians and he-exhorted the day that
ἡδέως γενέσθαι καὶ μεθυσθῆναι μετὰ τοῦ βασιλέως, αὐτὸν
pleasantly to-spend and to-get-drunk with the king himself
δὲ ἐκεῖνον ἔφη μετ᾽ ὀλίγον χρόνον ἐν Βαβυλῶνι ὄψεσθαι.
and that-one he-said after little time in Babylon to-be-going-to-see
ταῦτα δ᾽ εἰπὼν κατακλιθεὶς καὶ συγκαλυψάμενος οὐκ
these-things and having-said having-lain-down and having-covered-himself not
ἐκινήθη τοῦ πυρὸς πλησιάζοντος, ἀλλ᾽ ἐν ᾧ κατεκλίθη
he-moved the fire approaching but in which he-lay-down
σχήματι, τοῦτο διατηρῶν ἐκαλλιέρησεν ἑαυτὸν τῷ
posture this keeping he-sacrificed-auspiciously himself by-the
πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιστῶν. τοῦτο πολλοῖς ἔτεσιν
ancestral custom of-the there sages this many years
ὕστερον ἄλλος Ἰνδὸς ἐν Ἀθήναις Καίσαρι συνὼν ἐποίησε· καὶ
later another Indian in Athens with-Caesar being made and
δείκνυται μέχρι νῦν τὸ μνημεῖον Ἰνδοῦ προσαγορευόμενον.
is-shown until now the monument of-the-Indian called
ὁ δὲ Ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος, καὶ συναγαγὼν 70
— and Alexander from the pyre having-come and having-gathered
πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον,
many of-the friends and of-the commanders to dinner
ἀγῶνα προὔθηκε καὶ στέφανον ἀκρατοποσίας. ὁ μὲν
a-contest proposed and a-crown for-drinking-unmixed-wine the indeed
οὖν πλεῖστον πιὼν Πρόμαχος ἄχρι χοῶν τεσσάρων
then most having-drunk Promachus up-to choes four

προῆλθε· καὶ λαβὼν τὸ νικητήριον, στέφανον ταλαντιαῖον,
advanced and having-taken the prize a-crown of-a-talent
ἡμέρας τρεῖς ἐπέζησε. τῶν δὲ ἄλλων, ὡς Χάρης φησί,
days three survived of-the and others as Chares says
τετταράκοντα καὶ εἷς ἀπέθανον πιόντες, ἰσχυροῦ τῇ
forty and one died having-drunk severe on-the
μέθῃ κρύους ἐπιγενομένου. τῶν δὲ ἑταίρων γάμον ἐν
drunkenness a-chill having-come-on of-the and companions marriage at
Σούσοις ἐπιτελῶν, καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα τὴν
Susa celebrating and taking indeed himself as-wife the
Δαρείου θυγατέρα Στάτειραν, διανέμων δὲ τὰς ἀρίστας
of-Darius daughter Stateira distributing and the noblest
τοῖς ἀρίστοις, κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων
to-the noblest a-common and of-the already previously-married
Μακεδόνων γάμον ἄλλον ἑστιάσας, ἐν ᾧ φασιν
Macedonians marriage-feast another having-given at which they-say
ἐννακισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων
nine-thousand of-the invited to the dinner being
ἑκάστῳ χρυσῆν φιάλην πρὸς τὰς σπονδὰς δοθῆναι,
to-each a-gold bowl for the libations to-have-been-given
τά τε ἄλλα θαυμαστῶς ἐλαμπρύνατο καὶ τὰ χρέα
the both other-things wonderfully he-made-splendid and the debts
τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας,
to-the lenders for the owing himself having-paid
τοῦ παντὸς ἀναλώματος ἐλάσσονος μυρίων ταλάντων
the whole outlay less than-ten-thousand talents
ἑκατὸν τριάκοντα ταλάντοις γενομένου. ἐπεὶ δὲ Ἀντιγένης
by-a-hundred thirty talents having-been when and Antigenes
ὁ ἑτερόφθαλμος ὡς ὀφείλων ἀπεγράψατο ψευδῶς, καὶ
the one-eyed as owing registered falsely and
παραγαγών τινα φάσκοντα δεδανεικέναι πρὸς τὴν
having-brought-forward one claiming to-have-lent at the

τράπεζαν, ἀπέτισε τὸ ἀργύριον, εἶτ᾽ ἐφωράθη ψευδόμενος,
bank paid the silver then was-detected lying
ὀργισθεὶς ὁ βασιλεὺς ἀπήλασε τῆς αὐλῆς αὐτὸν καὶ
angered the king drove-from the court him and
παρείλετο τὴν ἡγεμονίαν. ἦν δὲ λαμπρὸς ἐν τοῖς πολεμικοῖς
took-away the command was and brilliant in the warlike-things
ὁ Ἀντιγένης· καὶ ἔτι δὲ νέος ὤν, Φιλίππου πολιορκοῦντος
— Antigenes and still and young being Philip besieging
Πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικοῦ βέλους εἰς τὸν
Perinthus having-struck him of-a-catapult bolt into the
ὀφθαλμόν, οὐ παρέσχε βουλομένοις ἐξελεῖν τὸ βέλος οὐδὲ
eye not he-allowed those-wishing to-take-out the bolt nor
ὑφήκατο πρὶν ὤσασθαι προσμαχόμενος καὶ κατακλεῖσαι
did-he-give-in before to-repel fighting and to-shut-up
τοὺς πολεμίους εἰς τὸ τεῖχος. οὐ μετρίως οὖν τότε τὴν
the enemies into the wall not moderately then at-that-time the
ἀτιμίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ
disgrace he-bore but plain he-was himself from grief and
βαρυθυμίας διαχρησόμενος. καὶ τοῦτο δείσας ὁ βασιλεὺς
dejection going-to-make-away-with and this having-feared the king
ἀνῆκε τὴν ὀργὴν καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν.
relaxed the anger and the money to-keep ordered him
τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς ἀσκουμένους καὶ 71
of-the and boys the thirty-thousand whom being-trained and
μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων φανέντων
learning he-had-left in-the both bodies manly having-appeared
καὶ τοῖς εἴδεσιν εὐπρεπῶν, ἔτι δὲ καὶ ταῖς μελέταις εὐχέρειαν
and in-the looks comely still and also in-the exercises dexterity
καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων, αὐτὸς μὲν ἥσθη,
and nimbleness wonderful having-displayed himself indeed was-pleased
τοῖς δὲ Μακεδόσι δυσθυμία παρέστη καὶ δέος, ὡς ἧττον
to-the but Macedonians dejection came and fear that less

αὐτοῖς τοῦ βασιλέως προσέξοντος. διὸ καὶ τοὺς ἀσθενεῖς
to-them the king going-to-attend wherefore also the weak
καὶ πεπηρωμένους αὐτοῦ καταπέμποντος ἐπὶ θάλατταν ὕβριν
and maimed him sending-down to sea insult
ἔφασαν εἶναι καὶ προπηλακισμόν, ἀνθρώποις ἀποχρησάμενον
they-said to-be and outrage men having-used-up
εἰς ἅπαντα νῦν ἀποτίθεσθαι σὺν αἰσχύνῃ καὶ προσρίπτειν
for all-things now to-put-aside with disgrace and to-fling-back
ταῖς πατρίσι καὶ τοῖς γονεῦσιν, οὐ τοιούτους παραλαβόντα.
to-the fatherlands and to-the parents not such having-received
πάντας οὖν ἐκέλευον ἀφιέναι καὶ πάντας ἀχρήστους νομίζειν
all then they-bade to-dismiss and all useless to-consider
Μακεδόνας, ἔχοντα τοὺς νέους τούτους πυρριχιστάς, σὺν οἷς
Macedonians having the young these war-dancers with whom
ἐπιὼν κατακτήσεται τὴν οἰκουμένην. πρὸς ταῦτα χαλεπῶς
advancing he-will-conquer the inhabited-world at these-things angrily
ὁ Ἀλέξανδρος ἔσχε, καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτοὺς
— Alexander was and many-things indeed he-reviled them
πρὸς ὀργήν, ἀπελάσας δὲ τὰς φυλακὰς παρέδωκε Πέρσαις
in anger having-driven-away and the guards he-handed-over to-Persians
καὶ κατέστησεν ἐκ τούτων δορυφόρους καὶ ῥαβδοφόρους,
and appointed from these spear-bearers and mace-bearers
ὑφ' ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον, αὐτοὺς δὲ
by whom seeing him being-escorted themselves and
ἀπειργομένους καὶ προπηλακιζομένους, ἐταπεινοῦντο· καὶ
being-shut-out and being-insulted they-were-humbled and
διδόντες λόγον εὕρισκον αὑτοὺς ὀλίγου δεῖν μανέντας ὑπὸ
giving reason they-found themselves little short-of having-gone-mad from
ζηλοτυπίας καὶ ὀργῆς. τέλος δὲ συμφρονήσαντες ἐβάδιζον
jealousy and anger at-last and having-agreed they-went
ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνήν, μετὰ βοῆς καὶ
unarmed and in-tunic-only to the tent with shouting and

κλαυθμοῦ παραδιδόντες ἑαυτοὺς καὶ χρήσασθαι κελεύοντες
wailing handing-over themselves and to-treat bidding
ὡς κακοῖς καὶ ἀχαρίστοις. ὁ δ᾽ οὐ προσίετο, καίπερ ἤδη
as base and ungrateful he but not admitted although already
μαλασσόμενος. οἱ δ᾽ οὐκ ἀπέστησαν, ἀλλ᾽ ἡμέρας δύο καὶ
being-softened they but not stood-off but days two and
νύκτας οὕτω προσεστῶτες καὶ ὀλοφυρόμενοι καὶ κοίρανον
nights so standing-by and lamenting and lord
ἀνακαλοῦντες ἐκαρτέρησαν. τῇ δὲ τρίτῃ προελθὼν καὶ
calling-on they-persisted on-the and third having-come-forth and
θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους ἐδάκρυε πολὺν
having-seen pitiful and humbled he-wept long
χρόνον· εἶτα μεμψάμενος μέτρια καὶ προσαγορεύσας
time then having-reproached-them moderately and having-addressed
φιλανθρώπως ἀπέλυσε τοὺς ἀχρήστους δωρησάμενος
kindly he-dismissed the useless having-given-gifts
μεγαλοπρεπῶς, καὶ γράψας πρὸς Ἀντίπατρον ὅπως ἐν
magnificently and having-written to Antipater that in
πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεάτροις προεδρίαν ἔχοντες
all the contests and the theaters front-seats having
ἐστεφανωμένοι καθέζοιντο. τῶν δὲ τεθνηκότων τοὺς παῖδας
garlanded they-might-sit of-the and having-died the sons
ὀρφανοὺς ὄντας ἐμμίσθους ἐποίησεν.
orphans being salaried he-made

Hephaestion died of a fever; Alexander mourned wildly, crucified the doctor, and massacred the Cossaeans as an offering. Entering Babylon against the Chaldaeans' warnings, he met omens: ravens, a liver without its lobe, a stranger on his throne. He feared Antipater's sons, beat Cassander, and sank into a superstition Plutarch calls as bad as unbelief. After drinking with Medius he fell ill; the royal journals record his fever, the soldiers filing past, and his death. Plutarch weighs the poison rumor and Roxane's murder of Stateira.

72 ὡς δὲ ἦκεν εἰς Ἐκβάτανα τῆς Μηδίας καὶ διῴκησε τὰ
when and he-came to Ecbatana — of-Media and had-arranged the
κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ πανηγύρεσιν,
pressing-matters again he-was in theaters and festivals
ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς Ἑλλάδος
inasmuch-as indeed three-thousand to-him artists from — Greece
ἀφιγμένων. ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Ἡφαιστίων
having-arrived it-happened and about the days those Hephaestion
πυρέσσων· οἷα δὲ νέος καὶ στρατιωτικὸς οὐ φέρων ἀκριβῆ
having-a-fever as and young and soldierly not bearing strict
δίαιταν, ἅμα τῷ τὸν ἰατρὸν Γλαῦκον ἀπελθεῖν εἰς τὸ
regimen at-once with-the the physician Glaucus to-have-gone-off to the
θέατρον περὶ ἄριστον γενόμενος καὶ καταφαγὼν ἀλεκτρυόνα
theater at breakfast having-been and having-eaten a-cockerel
ἑφθὸν καὶ ψυκτῆρα μέγαν ἐκπιὼν οἴνου κακῶς ἔσχε καὶ
boiled and a-cooler great having-drunk-off of-wine badly was and
μικρὸν διαλιπὼν ἀπέθανε. τοῦτο οὐδενὶ λογισμῷ τὸ πάθος
a-little having-let-pass died this by-no reasoning the calamity
Ἀλέξανδρος ἤνεγκεν, ἀλλ' εὐθὺς μὲν ἵππους τε κεῖραι πάντας
Alexander bore but at-once indeed horses both to-shear all
ἐπὶ πένθει καὶ ἡμιόνους ἐκέλευσε καὶ τῶν πέριξ πόλεων
for mourning and mules he-ordered and of-the around cities

ἀφεῖλε τὰς ἐπάλξεις, τὸν δὲ ἄθλιον ἰατρὸν ἀνεσταύρωσεν,
took-off the battlements the and wretched physician he-crucified
αὐλοὺς δὲ κατέπαυσε καὶ μουσικὴν πᾶσαν ἐν τῷ στρατοπέδῳ
flutes and he-stopped and music all in the camp
πολὺν χρόνον, ἕως ἐξ Ἄμμωνος ἦλθε μαντεία τιμᾶν
long time until from Ammon came an-oracle to-honor
Ἡφαιστίωνα καὶ θύειν ὡς ἥρωϊ παρακελεύουσα. τοῦ δὲ
Hephaestion and to-sacrifice as to-a-hero bidding of-the and
πένθους παρηγορίᾳ τῷ πολέμῳ χρώμενος, ὥσπερ ἐπὶ θήραν
grief as-a-consolation the war using as to a-hunt
καὶ κυνηγέσιον ἀνθρώπων ἐξῆλθε καὶ τὸ Κοσσαίων ἔθνος
and chase of-men he-went-out and the of-Cossaeans nation
κατεστρέφετο, πάντας ἡβηδὸν ἀποσφάττων. τοῦτο δὲ
subdued all from-youth-up slaughtering this and
Ἡφαιστίωνος ἐναγισμὸς ἐκαλεῖτο. τύμβον δὲ καὶ ταφὴν
of-Hephaestion an-offering-to-the-dead was-called a-tomb and also burial
αὐτοῦ καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ μυρίων ταλάντων
his and the about these-things adornment from ten-thousand talents
ἐπιτελέσαι διανοούμενος, ὑπερβαλέσθαι δὲ τῷ φιλοτέχνῳ
to-accomplish intending to-surpass and by-the ingenious
καὶ περιττῷ τῆς κατασκευῆς τὴν δαπάνην, ἐπόθησε
and extraordinary of-the construction the expense he-desired
μάλιστα τῶν τεχνιτῶν Στασικράτην, μεγαλουργίαν τινὰ καὶ
most of-the artists Stasicrates magnificence some and
τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον.
daring and boast in the innovations promising
οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχὼν ἔφη τῶν ὀρῶν μάλιστα
this-one for to-him earlier having-met said of-the mountains most
τὸν Θρᾴκιον Ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ
the Thracian Athos shaping man-like to-receive and
διαμόρφωσιν· ἂν οὖν κελεύῃ, μονιμώτατον ἀγαλμάτων
molding if then he-should-order most-lasting of-statues

αὐτῷ καὶ περιφανέστατον ἐξεργάσεσθαι τὸν Ἄθων, τῇ
for-him and most-conspicuous to-be-going-to-work-out the Athos with-the
μὲν ἀριστερᾷ χειρὶ περιλαμβάνοντα μυρίανδρον πόλιν
indeed left hand embracing a-ten-thousand-man city
οἰκουμένην, τῇ δὲ δεξιᾷ σπένδοντα ποταμοῦ ῥεῦμα δαψιλὲς
inhabited with-the and right pouring of-a-river stream abundant
εἰς τὴν θάλασσαν ἀπορρέοντος. ταῦτα μὲν οὖν παρῃτήσατο,
into the sea flowing-off these-things indeed then he-declined
πολλῷ δὲ ἀτοπώτερα καὶ δαπανηρότερα τούτων σοφιζόμενος
much but stranger and more-expensive than-these devising
τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις διέτριβεν.
then and contriving-with the artists he-spent-his-time
73 εἰς δὲ Βαβυλῶνα προάγοντος αὐτοῦ Νέαρχος ἀφίκετο
to and Babylon advancing him Nearchus had-come
γὰρ αὖθις εἰσπλεύσας εἰς τὸν Εὐφράτην διὰ τῆς
for again having-sailed-in into the Euphrates through the
μεγάλης θαλάσσης ἔφη τινὰς ἐντυχεῖν αὐτῷ Χαλδαίους,
great sea said some to-have-met him Chaldaeans
παραινοῦντας ἀπέχεσθαι Βαβυλῶνος τὸν Ἀλέξανδρον.
advising to-keep-away-from Babylon — Alexander
ὁ δὲ οὐκ ἐφρόντισεν, ἀλλ᾽ ἐπορεύετο· καὶ πρὸς τοῖς
he but not cared but marched and at the
τείχεσι γενόμενος ὁρᾷ κόρακας πολλοὺς διαφερομένους
walls having-come sees ravens many quarreling
καὶ τύπτοντας ἀλλήλους, ὧν ἔνιοι κατέπεσον παρ᾽
and striking one-another of-which some fell-down beside
αὐτόν. ἔπειτα μηνύσεως γενομένης κατὰ Ἀπολλοδώρου τοῦ
him then information having-come against Apollodorus the
στρατηγοῦ τῆς Βαβυλῶνος ὡς εἴη περὶ αὐτοῦ τεθυμένος,
general — of-Babylon that he-had about him sacrificed
ἐκάλει Πυθαγόραν τὸν μάντιν. οὐκ ἀρνουμένου δὲ τὴν
he-called Pythagoras the seer not denying and the

πρᾶξιν ἠρώτησε τῶν ἱερῶν τὸν τρόπον. φήσαντος δὲ ὅτι τὸ
deed he-asked of-the victims the manner having-said and that the
ἧπαρ ἦν ἄλοβον, "παπαὶ," εἶπεν, "ἰσχυρὸν τὸ σημεῖον·"
liver was without-a-lobe alas he-said strong the sign
καὶ τὸν Πυθαγόραν οὐδὲν ἠδίκησεν. ἤχθετο δὲ μὴ
and — Pythagoras in-nothing wronged he-was-vexed and not
πεισθεὶς τῷ Νεάρχῳ, καὶ τὰ πολλὰ τῆς Βαβυλῶνος
having-been-persuaded — by-Nearchus and the most-part — of-Babylon
ἔξω κατασκηνῶν καὶ περιπλέων τὸν Εὐφράτην διέτριβεν.
outside encamping and sailing-about the Euphrates he-spent-time
ἠνώχλει δ' αὐτὸν σημεῖα πολλά. καὶ γὰρ λέοντα τῶν
troubled and him signs many and for a-lion of-the
τρεφομένων μέγιστον καὶ κάλλιστον ἥμερος ὄνος ἐπελθὼν
being-kept largest and finest a-tame ass having-attacked
καὶ λακτίσας ἀνεῖλεν. ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα καὶ
and having-kicked killed having-undressed and for anointing and
σφαῖραν αὐτοῦ παίζοντος οἱ νεανίσκοι οἱ σφαιρίζοντες, ὡς
ball him playing the young-men the playing-ball when
ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν
it-was-needful again to-take the clothes see a-man on
τῷ θρόνῳ καθεζόμενον σιωπῇ, τὸ διάδημα καὶ τὴν στολὴν
the throne sitting in-silence the diadem and the robe
τὴν βασιλικὴν περικείμενον. οὗτος ἀνακρινόμενος ὅστις
the royal wearing this-one being-questioned who
εἴη, πολὺν χρόνον ἄναυδος ἦν· μόλις δὲ συμφρονήσας
he-was long time speechless was barely and having-come-to-his-senses
Διονύσιος μὲν ἔφη καλεῖσθαι, Μεσσήνιος δὲ εἶναι τὸ
Dionysius indeed he-said to-be-called a-Messenian and to-be by-the
γένος· ἐκ δέ τινος αἰτίας καὶ κατηγορίας ἐνταῦθα
birth from and some charge and accusation hither
κομισθεὶς ἀπὸ θαλάσσης πολὺν χρόνον γεγονέναι ἐν
brought from the-sea long time to-have-been in

δεσμοῖς· ἄρτι δὲ αὐτῷ τὸν Σάραπιν ἐπιστάντα τοὺς
bonds just-now and to-him — Sarapis having-stood-by the
δεσμοὺς ἀνεῖναι καὶ προαγαγεῖν δεῦρο, καὶ κελεῦσαι
bonds to-loose and to-lead-forth hither and to-order
λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα καθίσαι καὶ σιωπᾶν.
having-taken the robe and the diadem to-sit and to-be-silent
74 ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος τὸν μὲν ἄνθρωπον, ὥσπερ
these-things having-heard — Alexander the indeed man as
ἐκέλευον οἱ μάντεις, ἠφάνισεν αὐτὸς δὲ ἠθύμει καὶ
bade the seers made-away-with himself and was-despondent and
δύσελπις ἦν πρὸς τὸ θεῖον ἤδη καὶ πρὸς τοὺς φίλους
despairing he-was toward the divine already and toward the friends
ὕποπτος. μάλιστα δὲ Ἀντίπατρον ἐφοβεῖτο καὶ τοὺς παῖδας,
suspicious most and Antipater he-feared and the sons
ὧν Ἰόλας μὲν ἀρχιοινοχόος ἦν, ὁ δὲ Κάσανδρος ἀφῖκτο
of-whom Iolas indeed chief-cupbearer was — and Cassander had-arrived
μὲν νεωστί, θεασάμενος δὲ βαρβάρους τινὰς προσκυνοῦντας,
indeed recently having-seen and barbarians some doing-obeisance
ἅτε δὴ τεθραμμένος Ἑλληνικῶς καὶ τοιοῦτο πρότερον
inasmuch-as indeed brought-up in-Greek-fashion and such-a-thing before
μηδὲν ἑωρακώς, ἐγέλασε προπετέστερον. ὁ δὲ Ἀλέξανδρος
nothing having-seen he-laughed rather-rashly — and Alexander
ὠργίσθη, καὶ δραξάμενος αὐτοῦ τῶν τριχῶν σφόδρα ταῖς
was-angered and having-grasped him by-the hair violently with-the
χερσὶν ἀμφοτέραις ἔπαισε τὴν κεφαλὴν πρὸς τὸν τοῖχον.
hands both struck the head against the wall
αὖθις δὲ πρὸς τοὺς κατηγοροῦντας Ἀντιπάτρου λέγειν τι
again and toward those accusing Antipater to-say something
βουλόμενον τὸν Κάσανδρον ἐκκρούων, "τί λέγεις;" ἔφη,
wishing — Cassander cutting-off what do-you-say he-said
"τοσαύτην ὁδὸν ἀνθρώπους μηδὲν ἀδικουμένους, ἀλλὰ
so-long a-journey men in-nothing wronged but

συκοφαντοῦντας ἐλθεῖν;" φήσαντος δὲ τοῦ Κασάνδρου τοῦτο
bringing-false-charges to-come having-said and — Cassander this
αὐτὸ σημεῖον εἶναι τοῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκουσι τῶν
very a-sign to-be of-the false-accusing that far they-come from-the
ἐλέγχων, ἀναγελάσας ὁ Ἀλέξανδρος, "ταῦτα ἐκεῖνα," ἔφη,
proofs having-laughed-out — Alexander these(-are) those he-said
"σοφίσματα τῶν Ἀριστοτέλους εἰς ἑκάτερον τὸν λόγον·
sophisms of-the(-men) of-Aristotle on either-side the argument
οἰμωξομένων, ἂν καὶ μικρὸν ἀδικοῦντες τοὺς ἀνθρώπους
going-to-lament if even a-little wronging the men
φανῆτε." τὸ δὲ ὅλον οὕτω φασὶ δεινὸν ἐνδῦναι καὶ
you-are-shown the and whole so they-say terrible to-have-sunk-in and
δευσοποιὸν ἐγγενέσθαι τῇ ψυχῇ τοῦ Κασάνδρου τὸ δέος,
indelible to-have-been-implanted in-the soul — of-Cassander the fear
ὥστε ὕστερον χρόνοις πολλοῖς, ἤδη Μακεδόνων βασιλεύοντα
that later in-times many already of-Macedonians reigning
καὶ κρατοῦντα τῆς Ἑλλάδος, ἐν Δελφοῖς περιπατοῦντα καὶ
and mastering — Greece in Delphi walking-about and
θεώμενον τοὺς ἀνδριάντας, εἰκόνος Ἀλεξάνδρου φανείσης,
viewing the statues a-likeness of-Alexander having-appeared
ἄφνω πληγέντα φρῖξαι καὶ κραδανθῆναι τὸ σῶμα καὶ
suddenly struck to-shudder and to-tremble the body and
μόλις ἀναλαβεῖν ἑαυτόν, ἰλιγγιάσαντα πρὸς τὴν ὄψιν.
barely to-recover himself having-grown-dizzy at the sight
ὁ δ' οὖν Ἀλέξανδρος ὡς ἐνέδωκε τότε πρὸς τὰ θεῖα 75
— and then Alexander when he-gave-way then to the divine-things
ταραχώδης γενόμενος καὶ περίφοβος τὴν διάνοιαν, οὐδὲν
troubled having-become and terrified in-the mind nothing
ἦν μικρὸν οὕτως τῶν ἀήθων καὶ ἀτόπων ὃ μὴ τέρας
was small so of-the unusual and strange which not a-portent
ἐποιεῖτο καὶ σημεῖον· ἀλλὰ θυομένων καὶ καθαιρόντων καὶ
he-made and sign but sacrificing and purifying and

μαντευόντων μεστὸν ἦν τὸ βασίλειον. οὕτως ἄρα δεινὸν
prophesying full was the palace so then terrible
μὲν ἡ ἀπιστία πρὸς τὰ θεῖα καὶ καταφρόνησις αὐτῶν,
indeed the disbelief toward the divine-things and contempt of-them
δεινὴ δὲ αὖθις ἡ δεισιδαιμονία, ἥ, δίκην ὕδατος
terrible and again the superstition which in-the-manner of-water
ἀεὶ πρὸς τὸ ταπεινούμενον καταρρέοντος, ἀνεπλήρου
always toward the being-lowered flowing-down filled
ἀβελτερίας κατάφοβον τὸν Ἀλέξανδρον γενόμενον. οὐ μὴν
with-folly fear-stricken — Alexander having-become not indeed
ἀλλὰ καὶ χρησμῶν γε τῶν περὶ Ἡφαιστίωνος ἐκ θεοῦ
but also oracles at-least the about Hephaestion from the-god
κομισθέντων ἀποθέμενος τὸ πένθος αὖθις ἦν ἐν θυσίαις
having-been-brought having-laid-aside the grief again he-was in sacrifices
καὶ πότοις. ἑστιάσας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον,
and drinking-bouts having-feasted and splendidly those about Nearchus
εἶτα λουσάμενος, ὥσπερ εἰώθει μέλλων καθεύδειν,
then having-bathed as he-was-accustomed going to-sleep
Μηδίου δεηθέντος ᾤχετο κωμασόμενος πρὸς αὐτόν· κἀκεῖ
Medius having-asked he-went going-to-revel to him and-there
πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν ἤρξατο πυρέττειν,
having-drunk whole the following day he-began to-have-fever
οὔτε σκύφον Ἡρακλέους ἐκπιὼν οὔτε ἄφνω διαλγὴς
neither a-cup of-Heracles having-drained nor suddenly in-pain
γενόμενος τὸ μετάφρενον ὥσπερ λόγχῃ πεπληγώς, ἀλλὰ
having-become the back as-if by-a-spear having-been-struck but
ταῦτά τινες ᾠοντο δεῖν γράφειν ὥσπερ δράματος
these-things some thought it-needful to-write as of-a-drama
μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες.
great a-tragic finale and moving having-fabricated
Ἀριστόβουλος δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς,
Aristobulus but says him being-fevered wildly

διψήσαντα δὲ σφόδρα πιεῖν οἶνον· ἐκ τούτου δὲ
having-been-thirsty and greatly to-have-drunk wine from this and
φρενιτιᾶσαι, καὶ τελευτῆσαι τριακάδι Δαισίου μηνός.
to-have-become-delirious and to-have-died on-the-thirtieth of-Daesius month
ἐν δὲ ταῖς ἐφημερίσιν οὕτως γέγραπται τὰ περὶ τὴν 76
in and the journals thus has-been-written the-things about the
νόσον. ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς ἐκάθευδεν ἐν τῷ
sickness on-the-eighth on tenth of-Daesius month he-slept in the
λουτρῶνι διὰ τὸ πυρέξαι. τῇ δὲ ἐξῆς λουσάμενος εἰς
bathroom because-of the having-had-fever on-the and next having-bathed into
τὸν θάλαμον μετῆλθε, καὶ διημέρευε πρὸς Μήδιον κυβεύων.
the chamber he-moved and spent-the-day with Medius dicing
εἶτ' ὀψὲ λουσάμενος καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς
then late having-bathed and the sacrifices to-the gods having-performed
ἐμφαγὼν διὰ νυκτὸς ἐπύρεξε. τῇ εἰκάδι λουσάμενος πάλιν
having-eaten through the-night he-had-fever on-the twentieth having-bathed again
ἔθυσε τὴν εἰθισμένην θυσίαν· καὶ κατακείμενος ἐν τῷ
he-sacrificed the customary sacrifice and lying in the
λουτρῶνι τοῖς περὶ Νέαρχον ἐσχόλαζεν, ἀκροώμενος τὰ
bathroom to-those about Nearchus he-gave-his-leisure listening-to the-things
περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. τῇ δεκάτῃ
about the voyage and the great sea on-the tenth
φθίνοντος ταὐτὰ ποιήσας μᾶλλον ἀνεφλέχθη, καὶ
of-the-waning-month the-same-things having-done more he-was-inflamed and
τὴν νύκτα βαρέως ἔσχε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττε
the night badly was and the following day had-fever
σφόδρα. καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην
violently and having-been-moved lay beside the great
κολυμβήθραν, ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν
swimming-pool when indeed with-the commanders he-talked about the
ἐρήμων ἡγεμονίας τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες.
vacant of-command posts how they-should-fill having-tested(-men)

ἑβδόμῃ σφόδρα πυρέττων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ
on-the-seventh violently feverish he-sacrificed having-been-lifted to the
ἱερά· τῶν δὲ ἡγεμόνων ἐκέλευε τοὺς μεγίστους διατρίβειν
sacrifices of-the and commanders he-ordered the greatest to-stay
ἐν τῇ αὐλῇ, ταξιάρχους δὲ καὶ πεντακοσιάρχους ἔξω
in the court taxiarchs and and five-hundred-commanders outside
νυκτερεύειν. εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς τῇ ἕκτῃ
to-spend-the-night to and the across palace having-been-carried on-the sixth
μικρὸν ὕπνωσεν, ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. ἐπελθόντων δὲ
a-little he-slept the but fever not abated having-come-in and
τῶν ἡγεμόνων ἦν ἄφωνος, ὁμοίως δὲ καὶ τὴν πέμπτην·
the commanders he-was speechless likewise and also the fifth
διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξε τεθνάναι, καὶ κατεβόων
wherefore also to-the Macedonians it-seemed to-have-died and they-shouted
ἐλθόντες ἐπὶ τὰς θύρας, καὶ διηπειλοῦντο τοῖς ἑταίροις
having-come to the doors and threatened the companions
ἕως ἐβιάσαντο· καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν ἐν τοῖς
until they-forced and the doors to-them having-been-opened in the
χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον.
tunics one-by one all past the couch filed-by
ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς
this and the day those about Python and Seleucus to
τὸ Σεραπεῖον ἀποσταλέντες ἠρώτων εἰ κομίσωσιν ἐκεῖ
the Serapeum having-been-sent asked whether they-should-bring there
τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλε.
— Alexander the and god in place to-leave answered
τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανε.
on-the and third of-the-waning-month toward evening he-died
77 τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν
of-these the most by word in the journals
οὕτω γέγραπται. φαρμακείας δὲ ὑποψίαν παραυτίκα μὲν
so has-been-written of-poisoning and suspicion immediately indeed

οὐδεὶς ἔσχεν, ἕκτῳ δὲ ἔτει φασὶ μηνύσεως γενομένης
no-one had in-sixth but year they-say information having-come
τὴν Ὀλυμπιάδα πολλοὺς μὲν ἀνελεῖν, ἐκρῖψαι δὲ τὰ
— Olympias many indeed to-have-killed to-have-cast-out and the
λείψανα τοῦ Ἰόλα τεθνηκότος, ὡς τούτου τὸ φάρμακον
remains — of-Iolas having-died as this-one the poison
ἐγχέαντος. οἱ δὲ Ἀριστοτέλην φάσκοντες Ἀντιπάτρῳ
having-poured-in others and Aristotle saying to-Antipater
σύμβουλον γεγενῆσθαι τῆς πράξεως, καὶ ὅλως δι᾽
counselor to-have-been of-the deed and altogether through
ἐκείνου πορισθῆναι τὸ φάρμακον, Ἀγνόθεμίν τινα
him to-have-been-procured the poison Hagnothemis one
διηγεῖσθαι λέγουσιν ὡς Ἀντιγόνου τοῦ βασιλέως ἀκούσαντα·
to-relate they-say as from-Antigonus the king having-heard
τὸ δὲ φάρμακον ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ
the and poison water to-be cold and icy from
πέτρας τινὸς ἐν Νωνάκριδι οὔσης, ἣν ὥσπερ δρόσον
a-rock some in Nonacris being which like dew
λεπτὴν ἀναλαμβάνοντες εἰς ὄνου χηλὴν ἀποτίθενται· τῶν
fine taking-up into of-an-ass hoof they-store of-the
γὰρ ἄλλων οὐδὲν ἀγγεῖον στέγειν, ἀλλὰ διακόπτειν ὑπὸ
for other no vessel to-contain but to-break-through from
ψυχρότητος καὶ δριμύτητος. οἱ δὲ πλεῖστοι τὸν λόγον
coldness and pungency the but most the story
ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας·
altogether think to-have-been-fabricated the about the poisoning
καὶ τεκμήριον αὐτοῖς ἐστιν οὐ μικρὸν ὅτι τῶν ἡγεμόνων
and evidence to-them is not small that the commanders
στασιασάντων ἐφ᾽ ἡμέρας πολλὰς ἀθεράπευτον τὸ σῶμα
having-quarreled for days many untended the body
κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν οὐδὲν ἔσχε
lying in places hot and stifling no had

τοιαύτης φθορᾶς σημεῖον, ἀλλ᾽ ἔμεινε καθαρὸν καὶ
of-such corruption sign but remained pure and
πρόσφατον. ἡ δὲ Ῥωξάνη κύουσα μὲν ἐτύγχανε καὶ
fresh — and Roxane being-pregnant indeed happened and
διὰ τοῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσι· δυσζήλως δὲ
because-of this honored among the Macedonians jealously and
ἔχουσα πρὸς τὴν Στάτειραν ἐξηπάτησεν αὐτὴν ἐπιστολῇ
being-disposed toward — Stateira deceived her by-a-letter
τινι πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγοῦσα μετὰ
some forged to-come and having-brought-her with
τῆς ἀδελφῆς ἀπέκτεινε, καὶ τοὺς νεκροὺς εἰς τὸ φρέαρ
the sister she-killed and the corpses into the well
κατέβαλε καὶ συνέχωσεν, εἰδότος ταῦτα Περδίκκου
threw-down and filled-up knowing these-things Perdiccas
καὶ συμπράττοντος. ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει
and helping was for that-one at-once in power
μεγίστῃ, τὸν Ἀρριδαῖον ὥσπερ δορυφόρημα τῆς βασιλείας
greatest — Arrhidaeus as a-bodyguard of-the kingship
ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ
dragging-along born indeed from a-woman obscure and
κοινῆς Φιλίννης, ἀτελῆ δὲ τὸ φρονεῖν ὄντα διὰ
common Philinna deficient and in-the thinking being through
σώματος νόσον οὐ φύσει προσπεσοῦσαν οὐδὲ αὐτομάτως,
of-body disease not by-nature having-befallen nor spontaneously
ἀλλὰ καὶ πάνυ φασὶ παιδὸς ὄντος αὐτοῦ διαφαίνεσθαι
but even very they-say child being him to-show-through
χάριεν ἦθος καὶ οὐκ ἀγεννές, εἶτα μέντοι φαρμάκοις
a-charming character and not ignoble then however with-drugs
ὑπὸ Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.
by Olympias having-been-harmed to-have-been-ruined the mind

PLUTARCH

ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ

On the Fortune or Virtue of Alexander

Against Fortune's claim to Alexander, Plutarch speaks for philosophy: he won his empire by wounds and toil, with little money and a small army. A philosopher in deed, he taught Hyrcanians to marry and Scythians to bury their dead, founded over seventy cities, and made Zeno's one world under one law real by mixing the peoples. His dress, his mass wedding, his sayings (were he not Alexander, he would be Diogenes), and his deeds, each joining every virtue, outdo the acknowledged philosophers.

οὗτος ὁ τῆς Τύχης λόγος ἐστίν, ἴδιον καὶ μόνης αὐτῆς 1
this the — of-Fortune speech is her-own and alone of-her
ἔργον ἀποφαινομένης Ἀλέξανδρον. δεῖ δ' ἀντειπεῖν
work declaring Alexander it-is-needful and to-reply
ὑπὲρ φιλοσοφίας, μᾶλλον δ' ὑπὲρ Ἀλεξάνδρου
on-behalf-of philosophy rather and on-behalf-of Alexander
δυσχεραίνοντος καὶ ἀγανακτοῦντος, εἰ προῖκα δόξει
being-displeased and being-indignant if as-a-gift he-will-seem
καὶ παρὰ τῆς Τύχης λαβεῖν τὴν ἡγεμονίαν, ἣν ὤνιον
even from — Fortune to-have-received the supremacy which bought
αἵματος πολλοῦ καὶ τραυμάτων ἐπαλλήλων κτώμενος
with-blood much and with-wounds one-upon-another winning

πολλὰς μὲν ἀύπνους νύκτας ἴαυεν,
many indeed sleepless nights he-spent
ἤματα δ' αἱματόεντα διέπρησσεν πολεμίζων
days and bloody he-passed-through warring

πρὸς ἀμάχους δυνάμεις καὶ ἄπειρα φῦλα καὶ
against invincible forces and countless tribes and
ποταμοὺς ἀπεράτους καὶ πέτρας ἀτοξεύτους,
rivers uncrossable and rocks beyond-bowshot

εὐβουλίᾳ καὶ καρτερίᾳ καὶ ἀνδρείᾳ καὶ σωφροσύνῃ
with-good-counsel and with-endurance and with-courage and with-self-control
παραταττόμενος.
drawn-up

2 οἶμαι δ' ἂν αὐτὸν εἰπεῖν πρὸς τὴν Τύχην τοῖς
I-think and — him to-say to — Fortune to-the
κατορθώμασιν αὑτὴν ἐπιγράφουσαν "μή μου διάβαλλε
successes herself inscribing not of-me slander
τὴν ἀρετὴν μηδ' ἀφαιροῦ περισπῶσα τὴν δόξαν. Δαρεῖος
the virtue nor take-away drawing-off the glory Darius
ἦν σὸν ἔργον, ὃν ἐκ δούλου καὶ ἀστάνδου βασιλέως
was your work whom from a-slave and a-courier of-the-king
κύριον Περσῶν ἐποίησας· καὶ Σαρδανάπαλος, ᾧ τὸ
lord of-Persians you-made and Sardanapalus on-whom the
διάδημα τῆς βασιλείας πορφύραν ξαίνοντι περιέθηκας.
diadem of-the kingship purple carding you-put-around
ἐγὼ δ' εἰς Σοῦσα νικῶν δι' Ἀρβήλων ἀναβέβηκα, καὶ
I but to Susa conquering through Arbela have-gone-up and
Κιλικία μοι πλατεῖαν ἀνέῳξεν Αἴγυπτον, Κιλικίαν δὲ
Cilicia for-me wide opened Egypt Cilicia and
Γράνικος, ὃν Μιθριδάτῃ καὶ Σπιθριδάτῃ νεκροῖς ἐπιβὰς
Granicus which on-Mithridates and Spithridates dead having-stepped
διεπέρασα. κόσμει σεαυτὴν καὶ σεμνύνου βασιλεῦσιν
I-crossed adorn yourself and pride-yourself on-kings
ἀτρώτοις καὶ ἀναιμάκτοις· ἐκεῖνοι γὰρ εὐτυχεῖς ἦσαν,
unwounded and bloodless those for fortunate were
Ὦχοι καὶ Ἀρτοξέρξαι, οὓς εὐθὺς ἐκ γενετῆς τῷ Κύρου
Ochuses and Artaxerxeses whom at-once from birth on-the of-Cyrus
θρόνῳ ἐνίδρυσας. τοὐμὸν δὲ σῶμα πολλὰ σύμβολα φέρει
throne you-seated my and body many tokens bears
Τύχης ἀνταγωνιζομένης οὐ συμμαχούσης. πρῶτον ἐν
of-Fortune contending-against not fighting-alongside first among

Ἰλλυριοῖς λίθῳ τὴν κεφαλὴν ὑπέρῳ δὲ τὸν τράχηλον
Illyrians with-a-stone the head with-a-club and the neck
ἠλοήθην· ἔπειτα περὶ Γράνικον τὴν κεφαλὴν βαρβαρικῇ
I-was-bruised then at Granicus the head with-a-barbarian
μαχαίρᾳ διεκόπην, ἐν δ' Ἰσσῷ ξίφει τὸν μηρόν·
dagger I-was-cut-open at and Issus with-a-sword the thigh
πρὸς δὲ Γάζῃ τὸ μὲν σφυρὸν ἐτοξεύθην, τὸν δ'
at and Gaza the indeed ankle I-was-shot-with-an-arrow the and
ὦμον ἐκπεσὼν βαρὺς ἐξ ἔδρας περιεδίνησα· πρὸς
shoulder having-been-dislocated heavily from its-socket I-whirled-around against
δὲ Μαρακανδάνοις τοξεύμασι τὸ τῆς κνήμης ὀστέον
and Maracandans with-arrows the of-the shin bone
διεσχίσθην· τὰ λοιπὰ δ' Ἰνδῶν πληγαὶ καὶ βίαι θυμῶν·
I-was-split the rest and of-Indians blows and violences of-passions
ἐν Ἀσπασίοις ἐτοξεύθην τὸν ὦμον, ἐν δὲ Γανδρίδαις
among Aspasians I-was-shot the shoulder among and Gandridae
τὸ σκέλος· ἐν δὲ Μαλλοῖς βέλει μὲν ἀπὸ τόξου τὸ
the leg among and Malli with-a-missile indeed from a-bow the
στέρνον ἐνερεισθέντι καὶ καταδύσαντι τὸν σίδηρον, ὑπέρου
breast having-been-driven-in and having-sunk the iron of-a-club
δὲ πληγῇ παρὰ τὸν τράχηλον, ὅτε προστεθεῖσαι τοῖς
and with-a-blow at the neck when having-been-set-against the
τείχεσιν αἱ κλίμακες ἐκλάσθησαν· ἐμὲ δ' ἡ Τύχη μόνον
walls the ladders broke me and — Fortune alone
συνεῖρξεν οὐδὲ λαμπροῖς ἀνταγωνισταῖς, ἀλλὰ βαρβάροις
shut-in not-even on-illustrious opponents but on-barbarians
ἀσήμοις χαριζομένη τηλικοῦτον ἔργον· εἰ δὲ μὴ Πτολεμαῖος
obscure bestowing so-great a-deed if and not Ptolemy
ὑπερέσχε τὴν πέλτην, Λιμναῖος δὲ πρὸ ἐμοῦ μυρίοις
had-held-over the shield Limnaeus and before me thousands
ἀπαντήσας βέλεσιν ἔπεσεν, ἤρειψαν δὲ θυμῷ καὶ βίᾳ
having-met with-missiles fell threw-down and by-spirit and force

Μακεδόνες τὸ τεῖχος, ἔδει τάφον Ἀλεξάνδρου
Macedonians the wall it-would-have-been-necessary a-tomb of-Alexander
τὴν βάρβαρον ἐκείνην καὶ ἀνώνυμον κώμην γενέσθαι."
the barbarian that and nameless village to-become
3 καὶ μὴν τὰ μὲν αὐτῆς τῆς στρατείας χειμῶνες, αὐχμοί,
and indeed the-things indeed of-very the expedition winters droughts
βάθη ποταμῶν, ἄορνα ὕψη, θηρίων ὑπερφυεῖς ὄψεις, ἄγριοι
depths of-rivers birdless heights of-beasts monstrous sights savage
δίαιται, μεταβολαὶ δυναστῶν, παλιμπροδοσίαι· τὰ
ways-of-life changes of-rulers betrayals-and-counter-betrayals the-things
δὲ πρὸ τῆς στρατείας, ἔτι τοῖς Φιλιππικοῖς πολέμοις
and before the expedition still with-the Philippic wars
ἐπέσπαιρεν ἡ Ἑλλάς, ἀπεσείοντο δ' αἱ Θῆβαι τῶν ὅπλων
was-gasping — Greece were-shaking-off and — Thebes from-the arms
τὴν Χαιρωνικὴν κόνιν ἐκ τοῦ πτώματος ἀνιστάμεναι,
the Chaeronean dust from the fall rising
καὶ συνῆπτον αἱ Ἀθῆναι τὰς χεῖρας ὀρέγουσαι· πᾶσα
and were-joining — Athens the hands stretching-out all
δ' ὕπουλος ἡ Μακεδονία πρὸς Ἀμύνταν ἀποβλέπουσα
and festering — Macedonia toward Amyntas looking
καὶ τοὺς Ἀερόπου παῖδας· ἀνερρήγνυντο δ' Ἰλλυριοί, καὶ
and the of-Aeropus sons were-breaking-out and Illyrians and
τὰ Σκυθῶν ἐπῃωρεῖτο τοῖς προσοίκοις νεωτερίζουσι· τὸ
the-affairs of-Scythians hung-over the neighbors making-revolution the
δὲ Περσικὸν χρυσίον διὰ τῶν ἑκασταχοῦ δημαγωγῶν ῥέον
and Persian gold through the everywhere popular-leaders flowing
ἐκίνει τὴν Πελοπόννησον κενοὶ δ' οἱ Φιλίππου θησαυροὶ
stirred — Peloponnese empty and the of-Philip treasuries
χρημάτων, καὶ προσῆν ἔτι δάνειον, ὡς Ὀνησίκριτος
of-money and there-was-besides still a-debt as Onesicritus
ἱστορεῖ, διακοσίων ταλάντων. ἐν τοσαύτῃ πενίᾳ καὶ
records of-two-hundred talents in so-great poverty and

πράγμασι ταραχὰς ἔχουσι μειράκιον ἄρτι τὴν παιδικὴν
affairs disorders having a-stripling just the boyish
παραλλάττον ἡλικίαν ἐθάρρησεν ἐλπίσαι Βαβυλῶνα καὶ
passing age dared to-hope-for Babylon and
Σοῦσα, μᾶλλον δὲ τὴν πάντων ἀνθρώπων ἀρχὴν εἰς
Susa rather and the of-all men empire into
νοῦν ἐμβαλέσθαι, τοῖς τρισμυρίοις, οἴεσθαι, πεζοῖς καὶ
mind to-cast with-the thirty-thousand to-think foot and
τετρακισχιλίοις ἱππεῦσι πιστεύσας· τοσοῦτοι γὰρ ἦσαν,
four-thousand horse having-trusted so-many for were-they
ὡς Ἀριστόβουλός φησιν· ὡς δὲ Πτολεμαῖος ὁ βασιλεύς,
as Aristobulus says as but Ptolemy the king
τρισμύριοι πεζοὶ πεντακισχίλιοι δ' ἱππεῖς· ὡς δ' Ἀναξιμένης,
thirty-thousand foot five-thousand and horse as but Anaximenes
τετρακισμύριοι πεζοὶ καὶ τρισχίλιοι, πεντακισχίλιοι δὲ
forty-thousand foot and three-thousand five-thousand and
καὶ πεντακόσιοι ἱππεῖς. τὸ δὲ λαμπρὸν αὐτῷ καὶ μέγα
and five-hundred horse the and splendid for-him and great
παρασκευασθὲν ὑπὸ τῆς Τύχης ἐφόδιον ἑβδομήκοντα
provided by — Fortune provision-for-the-journey seventy
τάλαντ' ἦν, ὥς φησιν Ἀριστόβουλος· ὡς δὲ Δοῦρις,
talents was as says Aristobulus as but Duris
τριάκοντα μόνον ἡμερῶν ἐπισιτισμός.
for-thirty only days provisioning
ἄβουλος οὖν καὶ προπετὴς Ἀλέξανδρος ἐξ εὐτελῶν οὕτως 4
ill-advised then and rash Alexander from slender-means so
ἐπὶ τὴν τηλικαύτην δύναμιν ὁρμώμενος; οὐ μὲν οὖν.
toward the so-great power setting-out not indeed then
τίς γὰρ ἀπὸ μειζόνων ἢ καλλιόνων ἀφορμῶν ἀνήγετο,
who for from greater or finer resources put-to-sea
μεγαλοψυχίας, συνέσεως, σωφροσύνης, ἀνδραγαθίας,
of-greatness-of-soul of-understanding of-self-control of-manliness

αἷς αὐτὸν ἐφωδίαζε φιλοσοφία πρὸς τὴν στρατείαν,
with-which him equipped philosophy for the expedition
καὶ πλείονας παρ᾽ Ἀριστοτέλους τοῦ καθηγητοῦ ἢ παρὰ
and more from Aristotle the teacher than from
Φιλίππου τοῦ πατρὸς ἀφορμὰς ἔχων διέβαινεν ἐπὶ
Philip the father resources having he-crossed against
Πέρσας; ἀλλὰ τοῖς μὲν γράφουσιν, ὡς Ἀλέξανδρος ἔφη
Persians but those indeed writing that Alexander said
ποτὲ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἀκολουθεῖν αὐτῷ τῆς
once the Iliad and the Odyssey to-follow him of-the
στρατείας ἐφόδιον, πιστεύομεν, Ὅμηρον σεμνύνοντες· ἂν δέ
expedition as-provision we-believe Homer exalting if but
τις φῇ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν παραμύθια πόνου
anyone say the Iliad and the Odyssey consolations of-toil
καὶ διατριβὰς ἕπεσθαι σχολῆς γλυκείας, ἐφόδιον δ᾽ ἀληθῶς
and pastimes to-follow of-leisure sweet provision but truly
γεγονέναι τὸν ἐκ φιλοσοφίας λόγον καὶ τοὺς περὶ ἀφοβίας
to-have-been the from philosophy reason and the about fearlessness
καὶ ἀνδρείας ἔτι δὲ σωφροσύνης καὶ μεγαλοψυχίας
and courage further and self-control and greatness-of-soul
ὑπομνηματισμούς, καταφρονοῦμεν· ὅτι δηλαδὴ περὶ
notes we-despise because clearly about
συλλογισμῶν οὐδὲν οὐδὲ περὶ ἀξιωμάτων ἔγραψεν, οὐδ᾽ ἐν
syllogisms nothing nor about axioms he-wrote nor in
Λυκείῳ περίπατον συνέσχεν οὐδ᾽ ἐν Ἀκαδημείᾳ θέσεις εἶπεν·
Lyceum a-walk held nor in Academy theses spoke
τούτοις γὰρ ὁρίζουσι φιλοσοφίαν οἱ λόγον αὐτὴν οὐκ
by-these for they-define philosophy those reason it not
ἔργον νομίζοντες. καίτοι γ᾽ οὐδὲ Πυθαγόρας ἔγραψεν
deed thinking and-yet indeed not-even Pythagoras wrote
οὐδὲν οὐδὲ Σωκράτης οὐδ᾽ Ἀρκεσίλαος οὐδὲ Καρνεάδης,
anything nor Socrates nor Arcesilaus nor Carneades

οἱ δοκιμώτατοι τῶν φιλοσόφων· καὶ οὐκ ἠσχολοῦντο περὶ
the most-approved of-the philosophers and not were-busied about
πολέμους ἐκεῖνοι τηλικούτους, οὐδὲ βασιλεῖς βαρβάρους
wars those so-great nor kings barbarian
ἡμεροῦντες οὐδὲ πόλεις Ἑλληνίδας ἐγκτίζοντες ἀγρίοις
taming nor cities Greek founding-among savage
ἔθνεσιν οὐδ' ἄθεσμα καὶ ἀνήκοα φῦλα νόμους διδάσκοντες
nations nor lawless and unschooled tribes laws teaching
καὶ εἰρήνην ἐπῄεσαν, ἀλλὰ καὶ σχολάζοντες τὸ γράφειν
and peace they-went-about but even being-at-leisure the writing
παρίεσαν τοῖς σοφισταῖς. πόθεν οὖν ἐπιστεύθησαν ἐκεῖνοι
they-left to-the sophists whence then were-believed those
φιλοσοφεῖν; ἀφ' ὧν εἶπον ἢ ἀφ' ὧν ἐβίωσαν ἢ ἀφ' ὧν
to-be-philosophers from what they-said or from what they-lived or from what
ἐδίδαξαν. ἀπὸ τούτων κρινέσθω καὶ Ἀλέξανδρος· ὀφθήσεται
they-taught from these let-be-judged also Alexander he-will-be-seen
γὰρ οἷς εἶπεν οἷς ἔπραξεν οἷς ἐπαίδευσε φιλόσοφος.
for by-what he-said by-what he-did by-what he-taught a-philosopher
καὶ πρῶτον τὸ παραδοξότατον, εἰ βούλει, σκόπει, τοὺς 5
and first the most-paradoxical if you-wish consider the
Ἀλεξάνδρου μαθητὰς τοῖς Πλάτωνος, τοῖς Σωκράτους
of-Alexander disciples with-those of-Plato with-those of-Socrates
ἀντιπαραβάλλων. εὐφυεῖς οὗτοι καὶ ὁμογλώσσους
comparing well-endowed these and of-the-same-tongue
ἐπαίδευον, εἰ μηδὲν ἄλλο φωνῆς Ἑλληνίδος συνιέντας· καὶ
taught if nothing else speech Greek understanding and
πολλοὺς οὐκ ἔπεισαν ἀλλὰ Κριτίαι καὶ Ἀλκιβιάδαι καὶ
many not they-persuaded but Critiases and Alcibiadeses and
Κλειτοφῶντες, ὥσπερ χαλινὸν τὸν λόγον ἐκπτύσαντες,
Cleitophons like a-bit the reason having-spat-out
ἄλλῃ πη παρετράπησαν. τὴν δ' Ἀλεξάνδρου παιδείαν
elsewhere somehow turned-aside the but of-Alexander education

ἂν ἐπιβλέπῃς, Ὑρκανοὺς γαμεῖν ἐπαίδευσε καὶ γεωργεῖν
if you-look-at Hyrcanians to-marry he-taught and to-farm
ἐδίδαξεν Ἀραχωσίους, καὶ Σογδιανοὺς ἔπεισε πατέρας
he-taught Arachosians and Sogdians he-persuaded fathers
τρέφειν καὶ μὴ φονεύειν, καὶ Πέρσας σέβεσθαι μητέρας
to-support and not to-murder and Persians to-revere mothers
ἀλλὰ μὴ γαμεῖν. ὦ θαυμαστῆς φιλοσοφίας, δι' ἣν Ἰνδοὶ
but not to-marry O wonderful philosophy through which Indians
θεοὺς Ἑλληνικοὺς προσκυνοῦσι, Σκύθαι θάπτουσι τοὺς
gods Greek worship Scythians bury the
ἀποθανόντας οὐ κατεσθίουσι. θαυμάζομεν τὴν Καρνεάδου
having-died not they-devour we-admire the of-Carneades
δύναμιν, εἰ Κλειτόμαχον, Ἀσδρούβαν καλούμενον πρότερον
power if Cleitomachus Hasdrubal called before
καὶ Καρχηδόνιον τὸ γένος, ἑλληνίζειν ἐποίησε· θαυμάζομεν
and Carthaginian by-the birth to-be-Greek he-made we-admire
τὴν διάθεσιν Ζήνωνος, εἰ Διογένη τὸν Βαβυλώνιον ἔπεισε
the disposition of-Zeno if Diogenes the Babylonian he-persuaded
φιλοσοφεῖν. ἀλλ' Ἀλεξάνδρου τὴν Ἀσίαν ἐξημεροῦντος
to-philosophize but Alexander — Asia civilizing
Ὅμηρος ἦν ἀνάγνωσμα, καὶ Περσῶν καὶ Σουσιανῶν
Homer was reading and of-Persians and of-Susianians
καὶ Γεδρωσίων παῖδες τὰς Εὐριπίδου καὶ Σοφοκλέους
and of-Gedrosians the-children the of-Euripides and Sophocles
τραγῳδίας ᾖδον. καὶ Σωκράτης μὲν ξένα παρεισάγων
tragedies sang and Socrates indeed foreign introducing
δαιμόνια δίκην τοῖς Ἀθήνησιν ὠφλίσκανε συκοφάνταις·
divinities a-penalty to-the at-Athens incurred informers
διὰ δ' Ἀλέξανδρον τοὺς Ἑλλήνων θεοὺς Βάκτρα
through and Alexander the of-Greeks gods Bactra
καὶ Καύκασος προσεκύνησε. Πλάτων μὲν γὰρ μίαν
and Caucasus worshiped Plato indeed for one

γράψας πολιτείαν οὐδένα πέπεικεν αὐτῇ χρῆσθαι διὰ
having-written republic no-one has-persuaded it to-use because-of
τὸ αὐστηρὸν Ἀλέξανδρος δ' ὑπὲρ ἑβδομήκοντα πόλεις
the severity Alexander but over seventy cities
βαρβάροις ἔθνεσιν ἐγκτίσας καὶ κατασπείρας τὴν
among-barbarian nations having-founded and having-sown-thick —
Ἀσίαν Ἑλληνικοῖς τέλεσι, τῆς ἀνημέρου καὶ θηριώδους
Asia with-Greek magistracies the untamed and bestial
ἐκράτησε διαίτης. καὶ τοὺς μὲν Πλάτωνος ὀλίγοι νόμους
overcame way-of-life and the indeed of-Plato few laws
ἀναγιγνώσκομεν, τοῖς δ' Ἀλεξάνδρου μυριάδες ἀνθρώπων
we-read those but of-Alexander ten-thousands of-men
ἐχρήσαντο καὶ χρῶνται· μακαριώτεροι τῶν διαφυγόντων
used and use more-blessed than-those having-escaped
Ἀλέξανδρον οἱ κρατηθέντες γενόμενοι· τοὺς μὲν γὰρ οὐδεὶς
Alexander those conquered having-become those indeed for no-one
ἔπαυσεν ἀθλίως ζῶντας, τοὺς δ' ἠνάγκασεν εὐδαιμονεῖν ὁ
stopped wretchedly living those and compelled to-be-happy the
νικήσας. ὥσθ' ὅπερ εἶπε Θεμιστοκλῆς, ὁπηνίκα φυγὼν
having-conquered so-that what said Themistocles when having-fled
ἔτυχε δωρεῶν μεγάλων παρὰ βασιλέως καὶ τρεῖς πόλεις
he-obtained gifts great from king and three cities
ὑποφόρους ἔλαβε, τὴν μὲν εἰς σῖτον τὴν δ' εἰς οἶνον
tributary received the-one indeed for bread the-other and for wine
τὴν δ' εἰς ὄψον, "ὦ παῖδες ἀπωλόμεθ' ἂν εἰ μὴ
the-other and for relish O children we-would-have-perished — if not
ἀπωλόμεθα·" τοῦτο περὶ τῶν ἁλόντων ὑπ' Ἀλεξάνδρου
we-had-perished this about those captured by Alexander
δικαιότερόν ἐστιν εἰπεῖν. οὐκ ἂν ἡμερώθησαν, εἰ μὴ
more-just it-is to-say not — they-would-have-been-civilized if not
ἐκρατήθησαν· οὐκ ἂν εἶχεν Ἀλεξάνδρειαν Αἴγυπτος,
they-had-been-conquered not — would-have-had Alexandria Egypt

οὐδὲ Μεσοποταμία Σελεύκειαν οὐδὲ Προφθασίαν Σογδιανὴ
nor Mesopotamia Seleucia nor Prophthasia Sogdiana
οὐδ᾽ Ἰνδία Βουκεφαλίαν, οὐδὲ πόλιν Ἑλλάδα Καύκασος
nor India Bucephalia nor a-city Greek Caucasus
παροικοῦσαν αἷς ἐμπολισθεὶς ἀπεσβέσθη τὸ ἄγριον καὶ
dwelling-near by-which settled-in-cities was-quenched the savage and
μετέβαλε τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἐθιζόμενον. εἰ τοίνυν
changed the worse by the better being-accustomed if then
μέγιστον μὲν οἱ φιλόσοφοι φρονοῦσιν ἐπὶ τῷ τὰ σκληρὰ
greatest indeed the philosophers are-proud on the the harsh
καὶ ἀπαίδευτα τῶν ἠθῶν ἐξημεροῦν καὶ μεθαρμόζειν,
and uneducated of-the characters to-tame and to-reshape
μυρία δὲ φαίνεται γένη καὶ φύσεις θηριώδεις μεταβαλὼν
countless and appear races and natures bestial having-changed
Ἀλέξανδρος, εἰκότως ἂν φιλοσοφώτατος νομίζοιτο.
Alexander reasonably — most-philosophical would-be-thought
6 καὶ μὴν ἡ πολὺ θαυμαζομένη πολιτεία τοῦ τὴν Στωικῶν
and indeed the much admired republic of-the the of-Stoics
αἵρεσιν καταβαλομένου Ζήνωνος εἰς ἓν τοῦτο συντείνει
sect having-founded of-Zeno to one this tends
κεφάλαιον, ἵνα μὴ κατὰ πόλεις μηδὲ κατὰ δήμους οἰκῶμεν
main-point that not by cities nor by demes we-live
ἰδίοις ἕκαστοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους
by-own each separated rights but all men
ἡγώμεθα δημότας καὶ πολίτας, εἷς δὲ βίος ᾖ καὶ
we-may-consider fellow-demesmen and citizens one and life may-be and
κόσμος, ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφομένης.
order as of-a-herd feeding-together by-law common reared-together
τοῦτο Ζήνων μὲν ἔγραψεν ὥσπερ ὄναρ ἢ εἴδωλον εὐνομίας
this Zeno indeed wrote as a-dream or image of-good-order
φιλοσόφου καὶ πολιτείας ἀνατυπωσάμενος, Ἀλέξανδρος δὲ
philosophical and of-a-republic having-shaped Alexander but

τῷ λόγῳ τὸ ἔργον παρέσχεν. οὐ γάρ, ὡς Ἀριστοτέλης
to-the word the deed provided not for as Aristotle
συνεβούλευεν αὐτῷ, τοῖς μὲν Ἕλλησιν ἡγεμονικῶς τοῖς δὲ
advised him to-the indeed Greeks as-leader to-the and
βαρβάροις δεσποτικῶς χρώμενος, καὶ τῶν μὲν ὡς φίλων
barbarians as-master behaving and of-the-ones indeed as friends
καὶ οἰκείων ἐπιμελόμενος τοῖς δ' ὡς ζῴοις ἢ φυτοῖς
and kinsmen caring for-the-others but as animals or plants
προσφερόμενος, πολέμων πολλῶν καὶ φυγῶν ἐνέπλησε καὶ
dealing with-wars many and exiles he-filled and
στάσεων ὑπούλων τὴν ἡγεμονίαν· ἀλλὰ κοινὸς ἥκειν
seditions festering the empire but common to-have-come
θεόθεν ἁρμοστὴς καὶ διαλλακτὴς τῶν ὅλων νομίζων,
from-god as-governor and reconciler of-the whole thinking
οὗς τῷ λόγῳ μὴ συνῆγε τοῖς ὅπλοις βιαζόμενος,
whom by-the reason not he-brought-together with-the arms forcing
εἰς ταὐτὸ συνενεγκὼν τὰ πανταχόθεν, ὥσπερ ἐν
into the-same having-brought-together the-things from-everywhere as in
κρατῆρι φιλοτησίῳ μίξας τοὺς βίους καὶ τὰ ἤθη καὶ
a-mixing-bowl of-friendship having-mixed the lives and the characters and
τοὺς γάμους καὶ τὰς διαίτας, πατρίδα μὲν τὴν οἰκουμένην
the marriages and the ways-of-life fatherland indeed the inhabited-world
προσέταξεν ἡγεῖσθαι πάντας, ἀκρόπολιν δὲ καὶ φρουρὰν τὸ
he-ordered to-consider all citadel and and garrison the
στρατόπεδον, συγγενεῖς δὲ τοὺς ἀγαθούς, ἀλλοφύλους δὲ
camp kinsmen and the good foreigners and
τοὺς πονηρούς· τὸ δ' Ἑλληνικὸν καὶ βαρβαρικὸν μὴ χλαμύδι
the wicked the and Greek and barbarian not by-cloak
μηδὲ πέλτῃ μηδ' ἀκινάκῃ μηδὲ κάνδυι διορίζειν, ἀλλὰ τὸ μὲν
nor by-shield nor by-scimitar nor by-candys to-distinguish but the indeed
Ἑλληνικὸν ἀρετῇ τὸ δὲ βαρβαρικὸν κακίᾳ τεκμαίρεσθαι·
Greek by-virtue the and barbarian by-vice to-judge

κοινὰς δ' ἐσθῆτας ἡγεῖσθαι καὶ τραπέζας καὶ γάμους καὶ
common and clothing to-consider and tables and marriages and
διαίτας, δι' αἵματος καὶ τέκνων ἀνακερανυμένους.
ways-of-life through blood and children being-blended
7 Δημάρατος μὲν οὖν ὁ Κορίνθιος εἷς ὢν τῶν Φιλίππου
Demaratus indeed then the Corinthian one being of-the of-Philip
ξένων καὶ φίλων, ὅτ' Ἀλέξανδρον εἶδεν ἐν Σούσοις,
guest-friends and friends when Alexander he-saw in Susa
περιχαρὴς γενόμενος καὶ δακρύσας μεγάλης ἔφη χαρᾶς
overjoyed having-become and having-wept of-great he-said joy
ἐστερῆσθαι τοὺς ἔμπροσθεν τεθνηκότας Ἕλληνας, ὅτι
to-have-been-deprived the earlier having-died Greeks because
Ἀλέξανδρον οὐκ εἶδον ἐν τῷ Δαρείου θρόνῳ καθεζόμενον.
Alexander not they-saw on the of-Darius throne seated
ἐγὼ δ' οὐδὲ τούτου μὰ Δία τοῦ θεάματος ζηλῶ τοὺς
I but not-even this by Zeus the spectacle envy those
ἰδόντας, ὃ καὶ τύχης ἦν καὶ κοινὸν ἑτέρων βασιλέων·
having-seen which both of-fortune was and common of-other kings
ἀλλ' ἐκείνης ἡδέως ἄν μοι δοκῶ γενέσθαι τῆς καλῆς καὶ
but of-that gladly — to-me I-think to-have-become the fair and
ἱερᾶς νυμφαγωγίας θεατής, ὅτε μιᾷ σκηνῇ χρυσωρόφῳ
sacred wedding-procession a-spectator when in-one tent gold-roofed
περιλαβών, ἐφ' ἑστίας κοινῆς καὶ τραπέζης, ἑκατὸν Περσίδας
having-embraced at hearth common and table a-hundred Persian
νύμφας καὶ ἑκατὸν νυμφίους Μακεδόνας καὶ Ἕλληνας,
brides and a-hundred bridegrooms Macedonian and Greek
αὐτὸς ἐστεφανωμένος πρῶτος ἀναμέλπων τὸν ὑμέναιον,
himself garlanded first raising-the-song the wedding-hymn
ὥσπερ φιλοτήσιον ἐπᾴδων μέλος, εἰς κοινωνίαν συνιοῦσι
as a-friendship singing song for union coming-together
τοῖς μεγίστοις καὶ δυνατωτάτοις γένεσι, μιᾶς νυμφίος,
to-the greatest and most-powerful races of-one bridegroom

πασῶν δὲ νυμφαγωγὸς ἅμα καὶ πατὴρ καὶ ἁρμοστὴς κατὰ
of-all and bride-leader at-once both father and joiner in
ζυγὰ συνῆπτεν. ἡδέως γὰρ ἂν εἶπον "ὦ βάρβαρε
pairs he-united gladly for — I-would-have-said O barbarian
Ξέρξη καὶ ἀνόητε καὶ μάτην πολλὰ περὶ τὴν Ἑλλησποντίαν
Xerxes and foolish and in-vain much about the Hellespontine
πονηθεὶς γέφυραν, οὕτως ἔμφρονες βασιλεῖς Ἀσίαν Εὐρώπῃ
having-toiled bridge thus sensible kings Asia to-Europe
συνάπτουσιν, οὐ ξύλοις οὐδὲ σχεδίαις οὐδ' ἀψύχοις
join not with-timbers nor rafts nor lifeless
καὶ ἀσυμπαθέσι δεσμοῖς, ἀλλ' ἔρωτι νομίμῳ καὶ γάμοις
and unfeeling bonds but by-love lawful and marriages
σώφροσι καὶ κοινωνίαις παίδων τὰ γένη συνάπτοντες."
chaste and by-sharings of-children the races joining
πρὸς τοῦτον ἀποβλέπων τὸν κόσμον Ἀλέξανδρος οὐ τὴν 8
to this looking the order Alexander not the
ἐσθῆτα προσήκατο τὴν Μηδικήν, ἀλλὰ τὴν Περσικὴν
dress adopted the Median but the Persian
πολλῷ τῆς Μηδικῆς εὐτελεστέραν οὖσαν. τὰ γὰρ ἔξαλλα
much than-the Median simpler being the for outlandish
καὶ τραγικὰ τοῦ βαρβαρικοῦ κόσμου παραιτησάμενος,
and theatrical of-the barbarian finery having-declined
οἷον τιάραν καὶ κάνδυν καὶ ἀναξυρίδας, ἐκ τοῦ Περσικοῦ
such-as tiara and candys and trousers from the Persian
καὶ Μακεδονικοῦ τρόπου μεμιγμένην τινὰ στολὴν ἐφόρει,
and Macedonian fashion mixed a-kind-of robe he-wore
καθάπερ Ἐρατοσθένης ἱστόρηκεν, ὡς μὲν φιλόσοφος
as Eratosthenes has-recorded as indeed a-philosopher
τοῖς ἀδιαφόροις χρώμενος, ὡς δ' ἡγεμὼν κοινὸς καὶ
the indifferent-things using as but leader common and
βασιλεὺς φιλάνθρωπος τῇ περὶ τὴν ἐσθῆτα τιμῇ τὴν
king humane by-the about the dress honor the

τῶν κεκρατημένων ἀνακτώμενος εὔνοιαν, ἵνα βεβαίως
of-the conquered winning goodwill so-that firmly
παραμένωσιν ἀγαπῶντες ὡς ἄρχοντας Μακεδόνας, μὴ
they-might-remain loving as rulers Macedonians not
μισοῦντες ὡς πολεμίους. τοὐναντίον γὰρ ἦν ἀσόφου
hating as enemies the-contrary for it-was of-an-unwise
καὶ τετυφωμένης ψυχῆς τὴν μὲν αὐτόχρουν χλαμύδα
and puffed-up soul the indeed self-colored cloak
θαυμάζειν, τὸν δὲ περιπόρφυρον χιτῶνα δυσχεραίνειν· ἢ
to-admire the but purple-bordered tunic to-dislike or
πάλιν ἐκεῖνα μὲν ἀτιμάζειν, τούτοις δ' ἐκπεπλῆχθαι,
again those indeed to-scorn by-these and to-be-astounded
δίκην νηπίου παιδὸς φυλάττοντα τὴν περιβολήν, ἣν
in-the-manner of-an-infant child keeping the covering which
ἡ πάτριος αὐτῷ συνήθεια καθάπερ τίτθη περιέθηκε. ζῷα
the ancestral for-him custom as a-nurse put-around animals
θηρεύοντες ἄνθρωποι δοραὰς ἐλάφων περιτίθενται, καὶ
hunting men skins of-deer put-on and
πτερωτοῖς ἀμπέχονται χιτωνίσκοις ἄγραις ἐπιχειροῦντες
in-feathered clothe-themselves tunics hunts attempting
ὀρνίθων, καὶ φυλάττονται ταύροις ὀφθῆναι φοινικίδας
of-birds and they-take-care by-bulls to-be-seen crimson-cloaks
ἔχοντες, ἐλέφασι δὲ λευκοὺς χιτῶνας· ἐρεθίζεται γὰρ
wearing by-elephants and white tunics are-provoked for
ὑπὸ τῶν χρωμάτων τὰ ζῷα τούτων καὶ διαθηριοῦται.
by the colors the animals these and become-savage
εἰ δὲ βασιλεὺς μέγας ἔθνη δυσκάθεκτα καὶ μαχόμενα
if but a-king great nations hard-to-hold and fighting
καθάπερ ζῷα τιθασεύων καὶ μειλισσόμενος ἐσθῆσιν οἰκείαις
as animals taming and soothing with-clothes familiar
καὶ συνήθεσιν ἐξεπράυνε διαίταις καὶ κατέστελλεν,
and customary calmed with-ways-of-life and quieted

οἰκειούμενος αὐτῶν τὸ δύσθυμον καὶ παρηγορῶν τὸ
winning their the sullenness and consoling the
σκυθρωπόν, ἐγκαλοῦσιν, οὐχὶ θαυμάζουσι τὴν σοφίαν, ὅτι
gloom they-accuse not they-admire the wisdom that
τῷ τυχόντι μετασχηματισμῷ τὴν Ἀσίαν ἐδημαγώγησε,
by-the ordinary change-of-dress — Asia he-won-over
τοῖς μὲν ὅπλοις τῶν σωμάτων ἐπικρατήσας, τῇ δ'
with-the indeed arms the bodies having-mastered with-the and
ἐσθῆτι τὰς ψυχὰς προσαγαγόμενος; καίτοι γ' Ἀρίστιππον
dress the souls having-attracted and-yet indeed Aristippus
θαυμάζουσι τὸν Σωκρατικόν, ὅτι καὶ τρίβωνι λιτῷ
they-admire the Socratic because both in-a-threadbare-cloak plain
καὶ Μιλησίᾳ χλανίδι χρώμενος δι' ἀμφοτέρων ἐτήρει
and in-a-Milesian robe using through both he-kept
τὸ εὔσχημον· Ἀλεξάνδρῳ δ' ἐγκαλοῦσιν, ὅτι τὴν πάτριον
the decorum Alexander but they-accuse because the ancestral
ἐσθῆτα κοσμῶν οὐδὲ τὴν δορίκτητον ὑπερεῖδε, μεγάλων
dress adorning not-even the spear-won he-disdained of-great
πραγμάτων καταβαλλόμενος ἀρχάς. οὐ γὰρ λῃστρικῶς
affairs laying-down beginnings not for like-a-robber
τὴν Ἀσίαν καταδραμὼν οὐδ' ὥσπερ ἅρπαγμα καὶ λάφυρον
— Asia having-overrun nor like plunder and booty
εὐτυχίας ἀνελπίστου σπαράξαι καὶ ἀνασύρασθαι διανοηθείς,
of-good-fortune unhoped-for to-tear-apart and to-carry-off having-intended
καθάπερ ὕστερον μὲν Ἀννίβας Ἰταλίαν, πρότερον δὲ
as later indeed Hannibal Italy earlier and
Τρῆρες Ἰωνίαν καὶ Σκύθαι Μηδίαν ἐπῆλθον· ἀλλ' ἑνὸς
Treres Ionia and Scythians Media attacked but of-one
ὑπήκοα λόγου τὰ ἐπὶ γῆς καὶ μιᾶς πολιτείας, ἕνα
subject to-reason the-things on earth and of-one polity one
δῆμον ἀνθρώπους ἅπαντας ἀποφῆναι βουλόμενος, οὕτως

ἑαυτὸν ἐσχημάτιζεν· εἰ δὲ μὴ ταχέως ὁ δεῦρο καταπέμψας
himself he-fashioned if and not quickly the hither having-sent-down
τὴν Ἀλεξάνδρου ψυχὴν ἀνεκαλέσατο δαίμων, εἷς ἂν νόμος
the of-Alexander soul had-recalled divinity one — law
ἅπαντας ἀνθρώπους ἐπέβλεπε καὶ πρὸς ἓν δίκαιον ὡς
all men would-look-upon and toward one justice as
πρὸς κοινὸν διῳκοῦντο φῶς. νῦν δὲ τῆς γῆς ἀνήλιον
toward common would-be-governed light now but of-the earth sunless
μέρος ἔμεινεν, ὅσον Ἀλέξανδρον οὐκ εἶδεν.
part remained as-much-as Alexander not saw

9 οὐκοῦν πρώτη μὲν ἡ τῆς στρατείας ὑπόθεσις φιλόσοφον
therefore first indeed the of-the expedition purpose philosopher
τὸν ἄνδρα συνίστησιν, οὐχ ἑαυτῷ τρυφὴν καὶ πολυτέλειαν
the man establishes not for-himself luxury and extravagance
ἀλλὰ πᾶσιν ἀνθρώποις ὁμόνοιαν καὶ εἰρήνην καὶ κοινωνίαν
but for-all men concord and peace and fellowship
πρὸς ἀλλήλους παρασκευάσαι διανοηθέντα. δεύτερον δ'
toward one-another to-provide having-intended second and
αὐτοῦ καὶ τὰς φωνὰς ἴδωμεν, ἐπεὶ καὶ τὰ τῶν ἄλλων
his also the sayings let-us-see since also the of-the other
ἤθη βασιλέων καὶ δυναστῶν μάλιστα ταῖς φωναῖς αἱ
characters of-kings and rulers most in-the sayings the
ψυχαὶ προβάλλουσιν. Ἀντίγονος ὁ γέρων, σοφιστοῦ τινος
souls project Antigonus the old-man a-sophist one
αὐτῷ σύγγραμμα προσδόντος περὶ δικαιοσύνης, "ἀβέλτερος
to-him a-treatise having-presented about justice a-fool
εἶ" εἶπεν "ὃς ὁρῶν με τὰς ἀλλοτρίας πόλεις τύπτοντα
you-are he-said who seeing me the others' cities striking
λέγεις περὶ δικαιοσύνης." Διονύσιος δ' ὁ τύραννος ἐκέλευε
you-speak about justice Dionysius and the tyrant ordered

τοὺς μὲν παῖδας ἀστραγάλοις τοὺς δ' ἄνδρας ὅρκοις
the indeed boys with-knucklebones the and men with-oaths
ἐξαπατᾶν. τοῖς δὲ Σαρδαναπάλου μνημείοις ἐπιγέγραπται
to-deceive on-the and of-Sardanapalus tombs is-inscribed

ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα.
these-things I-have as-much-as I-ate and wantoned

τίς οὐκ ἂν εἴποι τῶν ἀποφθεγμάτων τούτων τῷ μὲν
who not — would-say of-the sayings these by-the-one indeed
ἀποφαίνεσθαι φιληδονίαν, τῷ δ' ἀθεότητα, τῷ
to-be-declared love-of-pleasure by-the-other and godlessness by-the-other
δ' ἀδικίαν καὶ πλεονεξίαν; τῶν δ' Ἀλεξάνδρου φωνῶν ἂν
and injustice and greed of-the but of-Alexander sayings if
ἀφέλῃς τὸ διάδημα καὶ τὸν Ἄμμωνα καὶ τὴν εὐγένειαν,
you-take-away the diadem and — Ammon and the noble-birth
Σωκράτους ἢ Πλάτωνος ἢ Πυθαγόρου σοι φανοῦνται. μὴ
of-Socrates or of-Plato or of-Pythagoras to-you they-will-appear not
γὰρ ἂς οἱ ποιηταὶ ταῖς εἰκόσιν αὐτοῦ καὶ τοῖς ἀνδριᾶσι
for which the poets on-the likenesses his and the statues
μεγαληγορίας ἐπεχάραττον, οὐ τῆς μετριότητος ἀλλὰ τῆς
boasts engraved not the moderation but the
δυνάμεως τῆς Ἀλεξάνδρου στοχαζόμενοι, σκοπῶμεν·
power the of-Alexander aiming-at let-us-consider

αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος εἰς Δία λεύσσων,
to-one-going-to-speak and is-like the bronze to Zeus looking
γᾶν ὑπ' ἐμοὶ τίθεμαι· Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.
earth under me I-place Zeus you and Olympus hold

καὶ “Ἀλέξανδρος ἐγὼ Διὸς μὲν υἱὸς ∗∗∗” ταῦτα μὲν
and Alexander I of-Zeus indeed son (lacuna) these-things indeed
οὖν, ὡς ἔφην, οἱ ποιηταὶ κολακεύοντες αὐτοῦ τὴν τύχην
then as I-said the poets flattering his the fortune
προσεῖπον· τῶν δ’ ἀληθινῶν ἀποφθεγμάτων Ἀλεξάνδρου
addressed of-the but true sayings of-Alexander
πρῶτον ἄν τις τὰ παιδικὰ διέλθοι· ποδωκέστατος
first — one the-things of-boyhood might-go-through swiftest
γὰρ τῶν ἐφ’ ἡλικίας νέων γενόμενος καὶ τῶν ἑταίρων
for of-the in age young-men having-been and the companions
αὐτὸν ἐπ’ Ὀλύμπια παρορμώντων, ἠρώτησεν, εἰ βασιλεῖς
him to Olympia urging he-asked whether kings
ἀγωνίζονται· τῶν δ’ οὐ φαμένων, ἄδικον εἶπεν εἶναι τὴν
compete they and not saying unjust he-said to-be the
ἅμιλλαν, ἐν ᾗ νικήσει μὲν ἰδιώτας νικηθήσεται δὲ
contest in which he-will-conquer indeed private-men will-be-conquered and
βασιλεύς. τοῦ δὲ πατρὸς Φιλίππου λόγχῃ τὸν μηρὸν
a-king of-the and father Philip by-a-spear the thigh
ἐν Τριβαλλοῖς διαπαρέντος, καὶ τὸν μὲν κίνδυνον
among Triballi having-been-pierced and the indeed danger
διαφυγόντος ἀχθομένου δὲ τῇ χωλότητι, “θάρρει πάτερ”
having-escaped being-vexed but at-the lameness take-heart father
ἔφη “καὶ πρόιθι φαιδρῶς, ἵνα τῆς ἀρετῆς κατὰ βῆμα
he-said and go-forward cheerfully so-that of-the virtue at-each step
μνημονεύῃς.” ταῦτ’ οὐκ ἔστι διανοίας φιλοσόφου καὶ διὰ
you-may-be-reminded these-things not are of-a-mind philosophical and through
τὸν ἐπὶ τοῖς καλοῖς ἐνθουσιασμὸν ἤδη τῶν τοῦ σώματος
the toward the noble enthusiasm already of-the of-the body
ἐλαττωμάτων κατεξανισταμένης; πῶς γὰρ αὐτὸν οἴει
defects rising-up-against how for him do-you-think
τοῖς ἰδίοις ἀγάλλεσθαι τραύμασι, καθ’ ἕκαστον μέρος
in-his own to-exult wounds at each part

ἔθνους μνημονεύοντα καὶ νίκης καὶ πόλεων ἁλισκομένων
a-nation remembering and victory and cities being-captured
καὶ βασιλέων παραδιδόντων, οὐκ ἐγκαλυπτόμενον
and kings surrendering not veiling
οὐδὲ κατακρύπτοντα τὰς οὐλάς, ἀλλ᾽ ὥσπερ εἰκόνας
nor hiding the scars but as images
ἐγκεχαραγμένας ἀρετῆς καὶ ἀνδραγαθίας περιφέροντα;
engraved of-virtue and manliness carrying-about
καὶ μὴν εἴ ποτε γένοιτο τῶν Ὁμήρου σύγκρισις ἐπῶν ἐν
and indeed if ever there-was of-the of-Homer comparison verses in
ταῖς διατριβαῖς ἢ παρὰ τὰ συμπόσια, ἄλλον ἄλλου στίχον
the conversations or at the drinking-parties one than-another line
προκρίνοντος, αὐτὸς ὡς διαφέροντα πάντων ἐνέκρινε τοῦτον,
preferring himself as excelling all judged this

ἀμφότερον βασιλεὺς τ᾽ ἀγαθὸς κρατερὸς τ᾽ αἰχμητής·
both a-king — good mighty and spearman

ὃν ἄλλος ἔπαινον τῷ χρόνῳ προέλαβε, τοῦτον αὑτῷ
which another as-praise in-the time anticipated this for-himself
νόμον κεῖσθαι λογιζόμενος, ὥστ᾽ εἰπεῖν Ὅμηρον, ὅτι
as-law to-be-laid-down reckoning so-that to-say Homer that
τῷ αὐτῷ μέτρῳ τὴν μὲν Ἀγαμέμνονος ἀνδραγαθίαν
in-the same meter the indeed of-Agamemnon manliness
κεκόσμηκε, τὴν δ᾽ Ἀλεξάνδρου μεμάντευται. διαβὰς
has-adorned that and of-Alexander has-prophesied having-crossed
τοίνυν τὸν Ἑλλήσποντον ἐθεᾶτο τὴν Τροίαν, ἀνατυπούμενος
then the Hellespont he-viewed — Troy picturing
τὰς ἡρωικὰς πράξεις καί τινος αὐτῷ τῶν ἐγχωρίων
the heroic deeds and one to-him of-the natives
ὑποσχομένου τὴν Πάριδος λύραν εἰ βούλοιτο δώσειν,
having-promised the of-Paris lyre if he-wished to-be-going-to-give

"οὐδέν" ἔφη τῆς ἐκείνου δέομαι· τὴν γὰρ Ἀχιλλέως
nothing he-said of-the of-that-man I-need that for of-Achilles
κέκτημαι, πρὸς ἣν ἐκεῖνος ἀνεπαύετο "ἄειδε δ' ἄρα κλέα
I-possess to which he took-his-rest he-sang and then the-glories
ἀνδρῶν·" ἡ δὲ Πάριδος πάντως μαλακήν τινα καὶ θήλειαν
of-men that but of-Paris entirely soft some and effeminate
ἁρμονίαν ἐρωτικοῖς ἔψαλλε μέλεσι φιλοσόφου τοίνυν ἐστὶ
harmony to-amorous played songs of-a-philosophical then is
ψυχῆς σοφίας ἐρᾶν καὶ σοφοὺς ἄνδρας θαυμάζειν μάλιστα·
soul wisdom to-love and wise men to-admire most
τοῦτο δ' Ἀλεξάνδρῳ προσῆν ὡς οὐδενὶ τῶν βασιλέων.
this and to-Alexander belonged as to-none of-the kings
καὶ πῶς μὲν εἶχε πρὸς Ἀριστοτέλην εἴρηται καὶ
and how indeed he-was-disposed toward Aristotle has-been-told and
ὅτι τὸν μὲν ἁρμονικὸν Ἀνάξαρχον ἐντιμότατον τῶν
that the indeed harmonist Anaxarchus most-honored of-the
φίλων ἐνόμιζε, Πύρρωνι δὲ τῷ Ἠλείῳ πρῶτον ἐντυχόντι
friends he-considered to-Pyrrho and the Elean first having-met
μυρίους χρυσοῦς ἔδωκε, Ξενοκράτει δὲ τῷ Πλάτωνος
ten-thousand gold-pieces he-gave to-Xenocrates and the of-Plato
συνήθει πεντήκοντα τάλαντα δωρεὰν ἔπεμψεν· Ὀνησίκριτον
associate fifty talents as-a-gift sent Onesicritus
δὲ τὸν Διογένους τοῦ Κυνὸς μαθητήν, ὅτι ἄρχοντα τῶν
and the of-Diogenes the Dog disciple that commander of-the
κυβερνητῶν κατέστησεν, ὑπὸ πλειόνων ἱστόρηται. Διογένει
pilots he-appointed by more has-been-recorded with-Diogenes
δ' αὐτῷ περὶ Κόρινθον εἰς λόγους ἐλθὼν οὕτως ἔφριξε
and himself at Corinth into words having-come so shuddered
καὶ κατεπλάγη τὸν βίον καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός, ὥστε
and was-astounded-at the life and the dignity of-the man that
πολλάκις αὐτοῦ μνημονεύων λέγειν "εἰ μὴ Ἀλέξανδρος
often him remembering to-say if not Alexander

ἤμην Διογένης ἂν ἤμην," τουτέστιν "ἠσχολούμην ἂν
I-were Diogenes — I-would-be that-is I-would-be-occupied —
περὶ λόγους, εἰ μὴ δι' ἔργων ἐφιλοσόφουν." οὐκ εἶπεν
about words if not through deeds I-philosophized not he-said
"εἰ μὴ βασιλεὺς ἤμην, Διογένης ἂν ἤμην," οὐδ' "εἰ μὴ
if not king I-were Diogenes — I-would-be nor if not
πλούσιος καὶ Ἀργεάδης" (οὐ γὰρ προέκρινε τὴν τύχην τῆς
rich and an-Argead not for he-preferred the fortune to-the
σοφίας οὐδὲ τὴν πορφύραν καὶ τὸ διάδημα τῆς πήρας
wisdom nor the purple and the diadem to-the wallet
καὶ τοῦ τρίβωνος)· ἀλλ' εἶπεν "εἰ μὴ Ἀλέξανδρος ἤμην,
and the threadbare-cloak but he-said if not Alexander I-were
Διογένης ἂν ἤμην," τουτέστιν "εἰ μὴ τὰ βαρβαρικὰ τοῖς
Diogenes — I-would-be that-is if not the barbarian with-the
Ἑλληνικοῖς κεράσαι διενοούμην καὶ πᾶσαν ἤπειρον ἐπιὼν
Greek to-mix I-intended and every continent invading
ἐξημερῶσαι, καὶ πέρατα γῆς ἀνευρὼν καὶ θαλάττης
to-civilize and ends of-earth having-found and of-sea
ὠκεανῷ προσερεῖσαι Μακεδονίαν, καὶ τὴν Ἑλλάδα σπεῖραι
to-ocean to-fix Macedonia and — Greece to-sow
καὶ καταχέασθαι γένους παντὸς εὐδικίαν καὶ εἰρήνην, οὐκ
and to-pour-over of-race every justice and peace not
ἂν ἐν ἀπράκτῳ τρυφῶν ἐξουσίᾳ καθήμην, ἀλλ' ἐζήλουν
— in idle luxuriating power I-would-sit but I-would-emulate
ἂν τὴν Διογένους εὐτέλειαν. νῦν δὲ σύγγνωθι, Διόγενες,
— the of-Diogenes frugality now but forgive Diogenes
Ἡρακλέα μιμοῦμαι καὶ Περσέα ζηλῶ, καὶ τὰ Διονύσου
Heracles I-imitate and Perseus I-emulate and the of-Dionysus
μετιὼν ἴχνη, θεοῦ γενάρχου καὶ προπάτορος, βούλομαι
pursuing footsteps of-the-god founder-of-the-race and forefather I-wish
πάλιν ἐν Ἰνδίᾳ νικῶντας Ἕλληνας ἐγχορεῦσαι καὶ τοὺς
again in India conquering Greeks to-dance-in and the

ὑπὲρ Καύκασον ὀρείους καὶ ἀγρίους τῶν βακχικῶν
beyond Caucasus mountaineers and savage of-the Bacchic
ἀναμνῆσαι κώμων. κἀκεῖ τινες εἶναι λέγονται στερρᾶς
to-remind revels and-there some to-be are-said of-austere
καὶ γυμνήτιδος σοφίας ἐθάδες ἄνδρες ἱεροὶ καὶ αὐτόνομοι,
and naked wisdom accustomed men holy and self-governing
θεῷ σχολάζοντες, εὐτελέστεροι Διογένους, οὐδὲν πήρας
for-god having-leisure simpler than-Diogenes in-no-way of-a-wallet
δεόμενοι· τροφὴν γὰρ οὐκ ἀποτίθενται, πρόσφατον ἀεὶ
needing food for not they-store fresh always
καὶ νέαν ἀπὸ γῆς ἔχοντες· ποτὸν δὲ ποταμοὶ ῥέουσι·
and new from earth having drink and rivers flow
φύλλα δ' αὐτοῖς δένδρων ἀποχυθέντα καὶ πόα γῆς
leaves and for-them of-trees shed and grass of-earth
ἐγκατακλιθῆναι. δι' ἐμὲ κἀκεῖνοι Διογένη γνώσονται καὶ
to-lie-down-on through me those-too Diogenes will-know and
Διογένης ἐκείνους. δεῖ κἀμὲ νόμισμα παρακόψαι καὶ
Diogenes them it-is-needful me-too the-coinage to-restrike and
παραχαράξαι τὸ βαρβαρικὸν Ἑλληνικῇ πολιτείᾳ."
to-restamp the barbarian with-Greek polity
11 εἶεν· αἱ δὴ πράξεις αὐτοῦ πότερον αὐτοματισμὸν
well-then the indeed deeds his whether spontaneity
ἐπιφαίνουσι τύχης καὶ βίαν πολεμικὴν καὶ χειροκρατίαν,
show of-fortune and violence warlike and might-of-hand
ἢ πολλὴν μὲν ἀνδρείαν καὶ δικαιοσύνην πολλὴν δὲ
or much indeed courage and justice much and
σωφροσύνην καὶ πραότητα μετὰ κόσμου καὶ συνέσεως,
self-control and gentleness with order and understanding
νήφοντι καὶ πεπνυμένῳ τῷ λογισμῷ πάντα πράττοντος;
with-sober and prudent the reasoning all-things doing
οὐ γὰρ ἔστιν εἰπεῖν διακρίναντά με μὰ τοὺς θεούς, ὅτι
not for it-is-possible to-say having-distinguished me by the gods that

τοῦτο μὲν ἀνδρείας, τοῦτο δὲ φιλανθρωπίας, τοῦτο δ'
this indeed of-courage this and of-humanity this and
ἐγκρατείας· ἀλλὰ πᾶν ἔργον ἐκ πασῶν ἔοικε τῶν ἀρετῶν
of-self-restraint but every deed from all seems the virtues
μεμῖχθαι· βεβαιοῦντος αὐτοῦ τὸν Στωικὸν ἐκεῖνον λόγον,
to-have-been-mixed confirming he the Stoic that doctrine
ὅτι πᾶν, ὃ ἂν δρᾷ ὁ σοφός, κατὰ πᾶσαν ἀρετὴν
that everything which — does the wise-man according-to every virtue
ἐνεργεῖ, καὶ μία μέν, ὡς ἔοικεν, ἀρετὴ πρωταγωνιστεῖ
he-performs and one indeed as it-seems virtue plays-the-leading-part
πράξεως ἑκάστης, παρακαλεῖ τὰς ἄλλας καὶ συντείνει
of-action each it-summons the others and directs-them
πρὸς τὸ τέλος. ἰδεῖν γοῦν ἔστιν ἐν Ἀλεξάνδρῳ τὸ
toward the end to-see at-least it-is-possible in Alexander the
μὲν πολεμικὸν φιλάνθρωπον, τὸ δὲ πρᾶον ἀνδρῶδες τὸ
indeed warlike humane the and gentle manly the
δὲ χαριστικὸν οἰκονομικόν, τὸ δὲ θυμικὸν εὐδιάλλακτον,
and liberal economical the and irascible easily-reconciled
τὸ δ' ἐρωτικὸν σῶφρον, τὸ δ' ἀνειμένον οὐκ ἀργόν,
the and amorous chaste the and relaxed not idle
τὸ δ' ἐπίπονον οὐκ ἀπαραμύθητον. τίς ἔμιξε πολέμοις
the and laborious not without-relief who mixed with-wars
ἑορτάς; τίς δὲ κώμοις στρατείας; τίς δὲ πολιορκίαις
festivals who and with-revels campaigns who and with-sieges
καὶ παρατάξεσι βακχείας καὶ γάμους καὶ ὑμεναίους;
and battle-lines Bacchic-rites and marriages and wedding-songs
τίς ἀδικοῦσιν ἐχθρότερος ἢ δυστυχοῦσιν ἡμερώτερος; τίς
who to-wrongdoers more-hostile or to-the-unfortunate gentler who
μαχομένοις βαρύτερος ἢ δεομένοις εὐγνωμονέστερος; ἔπεισί
to-those-fighting more-severe or to-those-begging more-considerate it-occurs
μοι τὸ τοῦ Πώρου δεῦρο μετενεγκεῖν. ἐκεῖνος γὰρ ὡς
to-me the — of-Porus hither to-transfer he for when

ἤχθη πρὸς Ἀλέξανδρον, πυθομένου πῶς αὐτῷ χρήσηται,
he-was-brought to Alexander having-asked how him he-should-treat
"βασιλικῶς" εἶπεν "ὦ Ἀλέξανδρε." πάλιν δ' ἐπερομένου
royally he-said O Alexander again and having-asked
"μή τι ἄλλο;" "οὐδέν" εἶπε "πάντα γὰρ ἔνεστιν ἐν τῷ
whether anything else nothing he-said all-things for are-in in the
βασιλικῶς." κἀμοὶ δὴ ταῖς Ἀλεξάνδρου πράξεσιν ἔπεισιν
royally and-to-me indeed to-the of-Alexander deeds it-occurs
ἐπιφωνεῖν ἀεὶ "φιλοσόφως·" ἐν τούτῳ γὰρ πάντ' ἔνεστι.
to-exclaim always philosophically in this for all-things are-in
Ῥωξάνης ἐρασθεὶς τῆς Ὀξυάθρου θυγατρὸς ἐν
Roxane having-fallen-in-love-with the of-Oxyathres daughter among
ταῖς αἰχμαλωτίσι χορευούσης οὐχ ὕβρισεν ἀλλ' ἔγημε·
the captive-women dancing not he-outraged but married-her
φιλοσόφως. Δαρεῖον ἰδὼν κατηκοντισμένον οὐκ ἔθυσεν
philosophically Darius having-seen pierced-with-javelins not he-sacrificed
οὐδ' ἐπαιάνισεν ὡς τοῦ μακροῦ πολέμου τέλος ἔχοντος,
nor sang-paeans as the long war an-end having
ἀλλὰ τὴν χλαμύδα τὴν ἑαυτοῦ περιελὼν ἐπέρριψε τῷ
but the cloak the his-own having-taken-off he-threw-over the
νεκρῷ καθάπερ τινὰ τύχης βασιλικῆς νέμεσιν συγκαλύπτων
corpse as some of-fortune royal retribution covering-up
φιλοσόφως. ἐπιστολὴν δέ ποτε τῆς μητρὸς ἀπόρρητον
philosophically a-letter and once of-the mother secret
διερχόμενος, Ἡφαιστίωνος ὡς ἔτυχε παρακαθημένου
going-through Hephaestion as it-happened sitting-beside
καὶ ἁπλῶς συναναγιγνώσκοντος, οὐκ ἐκώλυσεν, ἀλλὰ
and simply reading-along not he-prevented but
τὸν δακτύλιον αὑτοῦ τῷ στόματι προσέθηκεν αὐτοῦ,
the ring his to-the mouth he-put of-him

κατασφραγισάμενος φιλικῇ πίστει τὴν σιωπήν· φιλοσόφως.
having-sealed with-friendly trust the silence philosophically
εἰ γὰρ ταῦτ᾽ οὐκ ἔστι φιλοσόφως, τίν᾽ ἐστὶν ἄλλα;
if for these-things not are philosophically what are others
παραθῶμεν τὰ τῶν ὁμολογουμένων φιλοσόφων. 12
let-us-set-beside the-things of-the acknowledged philosophers
Σωκράτης ἠνέσχετο συγκοιμηθέντος Ἀλκιβιάδου· Ἀλέξανδρος
Socrates endured having-slept-with-him Alcibiades Alexander
δέ, Φιλοξένου τοῦ τῆς παραλίας ὑπάρχου γράψαντος, ὅτι
but Philoxenus the of-the coast governor having-written that
παῖς ἐν Ἰωνίᾳ γέγονεν οἷος οὐκ ἄλλος ὥραν καὶ εἶδος, καὶ
a-boy in Ionia has-been such-as not another in-bloom and form and
πυνθανομένου διὰ τῶν γραμμάτων εἰ ἀναπέμψῃ,
asking through the letters whether he-should-send-him-up
πικρῶς ἀντέγραψεν "ὦ κάκιστ᾽ ἀνθρώπων, τί μοι πώποτε
bitterly wrote-back O worst of-men what in-me ever
τοιοῦτο συνέγνως, ἵνα τοιαύταις με κολακεύσῃς ἡδοναῖς;"
such-a-thing did-you-perceive that with-such me you-should-flatter pleasures
Ξενοκράτην, πεντήκοντα τάλαντα δωρεὰν Ἀλεξάνδρου
Xenocrates fifty talents as-a-gift Alexander
πέμψαντος, ὅτι οὐκ ἔλαβε θαυμάζομεν· τὸ δὲ δοῦναι,
having-sent that not he-took we-admire the but to-give
οὔ; ἢ οὐχ ὁμοίως καταφρονεῖν χρημάτων δοκοῦμεν τὸν
not or not equally to-despise money do-we-think the
μὴ προσιέμενον καὶ τὸν χαριζόμενον; οὐκ ἐδεῖτο πλούτου
not accepting and the bestowing not needed wealth
Ξενοκράτης διὰ φιλοσοφίαν, Ἀλέξανδρος δ᾽ ἐδεῖτο διὰ
Xenocrates through philosophy Alexander but needed through
φιλοσοφίαν, ἵνα τοιούτοις χαρίζηται. *** τοῦτο ποσάκις
philosophy so-that on-such he-might-bestow (lacuna) this how-often
Ἀλέξανδρος εἶπε βαλλόμενος, ἐκβιαζόμενος; καίτοι κρίσεις
Alexander said being-pelted being-overpowered and-yet judgments

μὲν ὀρθὰς πᾶσιν ἐνυπάρχειν ἀνθρώποις νομίζομεν· ἡ γὰρ
indeed right in-all to-exist men we-think the for
φύσις ἀγωγός ἐστιν ἀφ' ἑαυτῆς πρὸς τὸ καλόν· οἱ δὲ
nature a-guide is of itself toward the noble the but
φιλόσοφοι τῶν πολλῶν διαφέρουσι τῷ τὰς κρίσεις ἔχειν
philosophers from-the many differ in-the the judgments to-have
ἐρρωμένας παρὰ τὰ δεινὰ καὶ πεπηγυίας· ἐπεὶ οὐ μετὰ
strong in the terrors and firm since not with
τῶν τοιούτων προλήψεων "εἷς οἰωνὸς ἄριστος" καὶ "πέρας
the such preconceptions one omen best and end
μέν ἐστιν ἅπασιν ἀνθρώποις ὁ θάνατος." ἀλλὰ θραύουσιν
indeed is for-all men the death but break
οἱ καιροὶ παρὰ τὰ δεινὰ τοὺς λογισμούς, καὶ τὰς κρίσεις
the crises in the terrors the reasonings and the judgments
ἐκκρούουσιν αἱ φαντασίαι τῶν κινδύνων ἐγγὺς γενομένων.
drive-out the imaginings of-the dangers near having-come
"φόβος γάρ" οὐ μόνον "μνήμην ἐκπλήττει" κατὰ τὸν
fear for not only memory drives-out according-to —
Θουκυδίδην, ἀλλὰ καὶ προαίρεσιν πᾶσαν καὶ φιλοτιμίαν
Thucydides but also purpose all and ambition
καὶ ὁρμήν, εἰ μὴ μηρίνθους φιλοσοφία περιτέθεικεν ***
and impulse if not cords philosophy has-put-around (lacuna)

Alexander's age was rich in artists, and he honored them with judgment, unlike tyrants who envied them; Lysippus alone sculpted him and Apelles painted him, and he refused Stasicrates' plan to carve Athos in his image. Power from Fortune only exposes small men, as his successors showed; his own virtue made him great, as his generosity, self-control, and kindness to Darius' women show. Fortune instead fought him at every step, piling dangers and wounds on him; the Malli town, where virtue alone saved him, is the proof.

διέφυγεν ἡμᾶς, ὡς ἔοικε, χθὲς εἰπεῖν, ὅτι καὶ τέχνας 1
escaped us as it-seems yesterday to-say that also arts
πολλὰς καὶ φύσεις μεγάλας ὁ κατ' Ἀλέξανδρον χρόνος
many and natures great the under Alexander time
ἐνεγκεῖν εὐτύχησεν ἢ τοῦτο μὲν οὐ τῆς Ἀλεξάνδρου τύχης
to-bear was-fortunate or this indeed not of-the of-Alexander fortune
γέγονεν ἀλλὰ τῆς ἐκείνων, μάρτυρα λαβεῖν καὶ θεατὴν τὸν
happened but of-the their-own a-witness to-get and spectator the
ἄριστα κρῖναι τὸ κατορθούμενον καὶ μάλιστ' ἀμείψασθαι
best to-judge the being-achieved and most to-reward
δυνάμενον. λέγεται γοῦν, ὅτι χρόνοις ὕστερον, Ἀρχεστράτου
being-able it-is-said at-least that in-times later Archestratus
γενομένου ποιητοῦ χαρίεντος ἐν δὲ πενίᾳ καὶ ἀδοξίᾳ
having-been a-poet graceful in but poverty and obscurity
διάγοντος, εἶπέ τις πρὸς αὐτὸν "ἀλλ' εἰ κατ' Ἀλέξανδρον
living said someone to him but if under Alexander
ἐγένου, κατὰ στίχον ἄν σοι Κύπρον ἢ Φοινίκην
you-had-been by line — to-you Cyprus or Phoenicia
ἔδωκεν." οἶμαι δὲ καὶ τῶν τότε τεχνιτῶν οὐ κατ'
he-would-have-given I-think and also of-the then artists not under
Ἀλέξανδρον ἀλλὰ δι' Ἀλέξανδρον τοὺς πρώτους γενέσθαι.
Alexander but through Alexander the first to-have-become

καρπῶν μὲν γὰρ εὐφορίαν εὐκρασία ποιεῖ καὶ λεπτότης
of-fruits indeed for abundance good-climate makes and lightness
τοῦ περιέχοντος ἀέρος, τεχνῶν δὲ καὶ φύσεων ἀγαθῶν
of-the surrounding air of-arts and and natures good
αὔξησιν εὐμένεια καὶ τιμὴ καὶ φιλανθρωπία βασιλέως
growth kindliness and honor and humanity of-a-king
ἐκκαλεῖται· καὶ τοὐναντίον ὑπὸ φθόνου καὶ σμικρολογίας ἢ
calls-forth and the-contrary by envy and stinginess or
φιλονεικίας τῶν κρατούντων σβέννυται καὶ φθίνει πᾶν τὸ
rivalry of-the rulers is-quenched and wastes all the
τοιοῦτο. Διονύσιος γοῦν ὁ τύραννος, ὥς φασι, κιθαρῳδοῦ
such-thing Dionysius at-least the tyrant as they-say a-lyre-singer
τινος εὐδοκιμοῦντος ἀκούων ἐπηγγείλατο δωρεὰν αὐτῷ
some well-regarded hearing promised as-a-gift to-him
τάλαντον· τῇ δ' ὑστεραίᾳ τοῦ ἀνθρώπου τὴν ὑπόσχεσιν
a-talent on-the and next-day the man the promise
ἀπαιτοῦντος, "χθές" εἶπεν "εὐφραινόμενος ὑπὸ σοῦ παρ'
demanding yesterday he-said being-delighted by you during
ὃν ᾖδες χρόνον εὔφρανα κἀγώ σε ταῖς ἐλπίσιν· ὥστε τὸν
which you-sang time I-delighted I-too you with-the hopes so-that the
μισθὸν ὧν ἔτερπες ἀπελάμβανες εὐθὺς ἀντιτερπόμενος."
pay for-what you-pleased you-received at-once being-pleased-in-return
Ἀλέξανδρος δ' ὁ Φεραίων τύραννος ἔδει δὲ τοῦτο
Alexander and the of-Pherae tyrant it-was-needful and this
μόνον αὐτὸν καλεῖσθαι καὶ μὴ καταισχύνειν τὴν ἐπωνυμίαν,
only him to-be-called and not to-disgrace the name
θεώμενος τραγῳδὸν ἐμπαθέστερον ὑφ' ἡδονῆς διετέθη
watching a-tragic-actor too-passionately from pleasure was-disposed
πρὸς τὸν οἶκτον. ἀναπηδήσας οὖν ἐκ τοῦ θεάτρου
to the pity having-leapt-up then from the theater
θᾶττον ἢ βάδην ἀπῄει, δεινὸν εἶναι λέγων, εἰ

τοσούτους ἀποσφάττων πολίτας ὀφθήσεται τοῖς Ἑκάβης
so-many slaughtering citizens he-will-be-seen at-the of-Hecuba
καὶ Πολυξένης πάθεσιν ἐπιδακρύων. οὗτος μὲν οὖν
and of-Polyxena sufferings weeping this-one indeed then
μικροῦ καὶ δίκην ἐπράξατο τὸν τραγῳδόν, ὅτι τὴν
nearly even punishment exacted-from the tragic-actor because the
ψυχὴν αὐτοῦ καθάπερ σίδηρον ἐμάλαξεν. Ἀρχελάῳ δὲ
soul his like iron he-softened to-Archelaus and
δοκοῦντι γλισχροτέρῳ περὶ τὰς δωρεὰς εἶναι Τιμόθεος
seeming more-niggardly about the gifts to-be Timotheus
ᾄδων ἐνεσήμαινε πολλάκις τουτὶ τὸ κομμάτιον
singing hinted often this the little-snatch

σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς.
you but the earth-born silver praise

ὁ δ' Ἀρχέλαος οὐκ ἀμούσως ἀντεφώνησε "σὺ δὲ γ'
— and Archelaus not unmusically answered-back you but at-least
αἰτεῖς" ὁ δὲ τῶν Σκυθῶν βασιλεὺς Ἀτέας Ἰσμηνίαν
ask the and of-the Scythians king Ateas Ismenias
τὸν αὐλητὴν λαβὼν αἰχμάλωτον, ἐκέλευσε παρὰ πότον
the flute-player having-taken captive ordered at drinking
αὐλῆσαι. θαυμαζόντων δὲ τῶν ἄλλων καὶ κροτούντων,
to-play-the-flute admiring and the others and applauding
αὐτὸς ὤμοσεν ἀκροᾶσθαι τοῦ ἵππου χρεμετίζοντος ἥδιον.
himself swore to-listen-to the horse neighing more-pleasantly
οὕτω μακρὰν ἀπεσκηνώκει τὰ ὦτα τῶν Μουσῶν, καὶ
so far had-moved-his-tent the ears from-the Muses and
τὴν ψυχὴν ἐν ταῖς φάτναις εἶχεν, οὐχ ἵππων ἀλλ'
the soul in the mangers he-had not of-horses but
ὄνων ἐπιτηδειοτέραν ἀκούειν. τίς ἂν οὖν παρὰ τοιούτοις
of-asses more-suited to-hear what — then among such

βασιλεῦσιν αὔξησις ἢ τιμὴ τέχνης γένοιτο καὶ Μούσης
kings growth or honor of-art might-become and of-Muse
τοιαύτης; ἀλλ᾽ οὐδὲ παρὰ τοῖς ἀντιτέχνοις ἐθέλουσιν εἶναι,
such but not-even among the rival-artists they-wish to-be
καὶ διὰ τοῦτο βασκανίᾳ καὶ δυσμενείᾳ τοὺς ἀληθῶς
and because-of this by-envy and ill-will the truly
τεχνίτας καθαιροῦσιν. οἷος ἦν πάλιν αὖ Διονύσιος ὁ
artists they-destroy such-as was again in-turn Dionysius the
τὸν ποιητὴν Φιλόξενον εἰς τὰς λατομίας ἐμβαλών, ὅτι
the poet Philoxenus into the quarries having-thrown because
τραγῳδίαν αὐτοῦ διορθῶσαι κελευσθείς, εὐθὺς ἀπὸ τῆς
a-tragedy his to-correct having-been-bidden at-once from the
ἀρχῆς ὅλην μέχρι τῆς κορωνίδος περιέγραψεν. ἦν δὲ καὶ
beginning whole up-to the colophon he-struck-out was and also
Φίλιππος ἐν τούτοις ὑπ᾽ ὀψιμαθίας ἑαυτοῦ μικρότερος καὶ
Philip in these-things from late-learning of-himself smaller and
νεοπρεπέστερος ὅθεν καί φασι πρός τινα ψάλτην περὶ
more-juvenile whence also they-say to one harpist about
κρουμάτων αὐτοῦ διαφερομένου καὶ δοκοῦντος ἐξελέγχειν,
notes he differing and seeming to-refute
ἀτρέμα μειδιάσαντα τὸν ἄνθρωπον εἰπεῖν "μὴ γένοιτό σοι,
quietly having-smiled the man to-have-said not may-it-be for-you
βασιλεῦ, ἀθλίως οὕτως, ἵνα ταῦτ᾽ ἐμοῦ βέλτιον εἰδῇς."
king wretchedly so that these-things than-me better you-know
2 ἀλλ᾽ Ἀλέξανδρος εἰδὼς τίνων δεῖ θεατὴν εἶναι καὶ
but Alexander knowing of-which-things it-is-needful a-spectator to-be and
ἀκροατὴν καὶ τίνων ἀγωνιστὴν καὶ αὐτουργόν, ἤσκει μὲν
a-listener and of-which a-competitor and practitioner practiced indeed
ἀεὶ διὰ τῶν ὅπλων δεινὸς εἶναι καὶ κατὰ τὸν Αἰσχύλον
always through the arms terrible to-be and according-to — Aeschylus

βριθὺς ὁπλιτοπάλας, δάιος ἀντιπάλοις.
heavy a-hoplite-wrestler hostile to-opponents

ταύτην ἔχων τέχνην προγονικὴν ἀπ᾽ Αἰακιδῶν, ἀφ᾽
this having art ancestral from Aeacidae from
Ἡρακλέους, ταῖς δ᾽ ἄλλαις τέχναις τὸ τιμᾶν ἄνευ τοῦ
Heracles to-the and other arts the honoring without the
ζηλοῦν ἀπεδίδου κατὰ τὸ ἔνδοξον αὐτῶν καὶ χαρίεν, τῷ
emulating he-gave according-to the glory of-them and grace by-the
τέρπειν δ᾽ οὐκ ἦν εὐάλωτος εἰς τὸ μιμεῖσθαι. γεγόνασι
pleasing but not he-was easily-captured into the imitating there-were
δὲ κατ᾽ αὐτὸν τραγῳδοὶ μὲν οἱ περὶ Θετταλὸν καὶ ὁ
and under him tragic-actors indeed those about Thessalus and —
Ἀθηνόδωρος, ὧν ἀνταγωνιζομένων ἀλλήλοις, ἐχορήγουν
Athenodorus of-whom competing-against one-another paid
μὲν οἱ Κύπριοι βασιλεῖς ἔκρινον δ᾽ οἱ δοκιμώτατοι τῶν
indeed the Cyprian kings judged and the most-approved of-the
στρατηγῶν, ἐπεὶ δ᾽ ἐνίκησεν Ἀθηνόδωρος, “ἐβουλόμην
generals when and won Athenodorus I-would-have-wished
ἄν” ἔφη “μᾶλλον ἀπολωλέναι μέρος τῆς βασιλείας ἢ
— he-said rather to-have-lost part of-the kingdom than
Θετταλὸν ἐπιδεῖν ἡττημένον.” ἀλλ᾽ οὔτ᾽ ἐνέτυχε τοῖς
Thessalus to-see defeated but neither did-he-approach the
κριταῖς οὔτε τὴν κρίσιν ἐμέμψατο, πάντων οἰόμενος δεῖν
judges nor the judgment blamed of-all thinking it-needful
περιεῖναι, τοῦ δικαίου δ᾽ ἡττᾶσθαι. κωμῳδοὶ δ᾽ ἦσαν οἱ
to-prevail by-the justice but to-be-defeated comic-actors and were those
περὶ Λύκωνα τὸν Σκαρφέα· τούτῳ δ᾽ εἴς τινα κωμῳδίαν
about Lycon the Scarphean to-this-one and into some comedy
ἐμβαλόντι στίχον αἰτητικὸν γελάσας ἔδωκε δέκα τάλαντα.
having-inserted a-line begging having-laughed he-gave ten talents

κιθαρῳδοὶ δ' ἄλλοι τε καὶ Ἀριστόνικος, ὃς ἐν μάχῃ τινὶ
lyre-singers and others both and Aristonicus who in battle some
προσβοηθήσας ἔπεσε λαμπρῶς ἀγωνισάμενος. ἐκέλευσεν
coming-to-help fell splendidly having-fought he-ordered
οὖν αὐτοῦ γενέσθαι καὶ σταθῆναι χαλκοῦν ἀνδριάντα
then of-him to-be-made and to-be-set-up a-bronze statue
Πυθοῖ, κιθάραν ἔχοντα καὶ δόρυ προβεβλημένον, οὐ τὸν
at-Pytho a-lyre holding and spear held-forward not the
ἄνδρα τιμῶν μόνον, ἀλλὰ καὶ μουσικὴν κοσμῶν ὡς
man honoring only but also music adorning as
ἀνδροποιὸν καὶ μάλιστα δὴ πληροῦσαν ἐνθουσιασμοῦ
man-making and most indeed filling with-enthusiasm
καὶ ὁρμῆς τοὺς γνησίως ἐντρεφομένους. καὶ γὰρ αὐτός,
and impulse those genuinely brought-up-in-it and for himself
Ἀντιγενίδου ποτὲ τὸν ἁρμάτειον αὐλοῦντος νόμον, οὕτω
Antigenides once the chariot piping strain so
παρέστη καὶ διεφλέχθη τὸν θυμὸν ὑπὸ τῶν μελῶν,
was-transported and was-inflamed the spirit by the melodies
ὥστε τοῖς ὅπλοις ᾄξας ἐπιβαλεῖν τὰς χεῖρας ἐγγὺς
that to-the arms having-darted to-lay-on the hands near
παρακειμένοις καὶ μαρτυρῆσαι τοῖς Σπαρτιάταις ᾄδουσιν

ἔρπει γὰρ ἄντα τῶ σιδάρω τὸ καλῶς κιθαρίσδειν.
goes for against the iron the well to-play-the-lyre

ἦν δὲ καὶ Ἀπελλῆς ὁ ζωγράφος καὶ Λύσιππος ὁ πλάστης
was and also Apelles the painter and Lysippus the sculptor
κατ' Ἀλέξανδρον· ὧν ὁ μὲν ἔγραψε τὸν κεραυνοφόρον
under Alexander of-whom the-one indeed painted the thunderbolt-bearer
οὕτως ἐναργῶς καὶ κεκραμένως, ὥστε λέγειν, ὅτι δυεῖν
so vividly and blended that to-say that of-two

Ἀλεξάνδρων ὁ μὲν Φιλίππου γέγονεν ἀνίκητος, ὁ δ'
Alexanders the-one indeed of-Philip has-been invincible the other
Ἀπελλοῦ ἀμίμητος. Λυσίππου δὲ τὸν πρῶτον Ἀλέξανδρον
of-Apelles inimitable Lysippus and the first Alexander
πλάσαντος, ἄνω βλέποντα τῷ προσώπῳ πρὸς τὸν
having-modeled upward looking with-the face toward the
οὐρανὸν (ὥσπερ αὐτὸς εἰώθει βλέπειν Ἀλέξανδρος ἡσυχῇ
heaven as himself was-accustomed to-look Alexander gently
παρεγκλίνων τὸν τράχηλον) ἐπέγραψέ τις οὐκ ἀπιθάνως

αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος εἰς Δία λεύσσων,
to-one-going-to-speak and is-like the bronze to Zeus looking
γᾶν ὑπ' ἐμοὶ τίθεμαι· Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.
earth under me I-place Zeus you and Olympus hold

διὸ καὶ μόνον Ἀλέξανδρος ἐκέλευε Λύσιππον εἰκόνας
wherefore also alone Alexander bade Lysippus likenesses
αὐτοῦ δημιουργεῖν. μόνος γὰρ οὗτος, ὡς ἔοικε, κατεμήνυε
of-him to-make alone for this-one as it-seems revealed
τῷ χαλκῷ τὸ ἦθος αὐτοῦ καὶ συνεξέφαινε τῇ μορφῇ τὴν
in-the bronze the character his and expressed-with the form the
ἀρετήν· οἱ δ' ἄλλοι τὴν ἀποστροφὴν τοῦ τραχήλου καὶ τῶν
virtue the but others the turning of-the neck and of-the
ὀμμάτων τὴν διάχυσιν καὶ ὑγρότητα μιμεῖσθαι θέλοντες οὐ
eyes the melting and moistness to-imitate wishing not
διεφύλαττον αὐτοῦ τὸ ἀρρενωπὸν καὶ λεοντῶδες. ἐν δ'
preserved his the manly and lion-like among and
οὖν τοῖς ἄλλοις τεχνίταις καὶ Στασικράτης ἦν ἀρχιτέκτων,
then the other artists also Stasicrates was a-master-builder
οὐδὲν ἀνθηρὸν οὐδ' ἡδὺ καὶ πιθανὸν τῇ ὄψει διώκων, ἀλλὰ
nothing florid nor sweet and persuasive to-the eye pursuing but

καὶ χειρὶ μεγαλουργῷ καὶ διαθέσει χορηγίας βασιλικῆς
also with-hand magnificent and with-disposition of-supply royal
οὐκ ἀποδεούσῃ χρώμενος. οὗτος ἀναβὰς πρὸς Ἀλέξανδρον
not falling-short using this-one having-gone-up to Alexander
ἐμέμφετο τὰς γραφομένας εἰκόνας αὐτοῦ καὶ γλυφομένας
blamed the painted likenesses his and carved
καὶ πλαττομένας, ὡς ἔργα δειλῶν τεχνιτῶν καὶ ἀγεννῶν·
and modeled as works of-cowardly artists and ignoble
"ἐγὼ δ'" εἶπεν "εἰς ἄφθαρτον, ὦ βασιλεῦ, καὶ ζῶσαν ὕλην
I but he-said in imperishable O king and living material
καὶ ῥίζας ἔχουσαν ἀιδίους καὶ βάρος ἀκίνητον καὶ ἀσάλευτον
and roots having everlasting and weight immovable and unshakable
ἔγνωκά σου τὴν ὁμοιότητα καταθέσθαι τοῦ σώματος.
have-determined your the likeness to-set-down of-the body
ὁ γὰρ Θράκιος Ἄθως, ᾗ μέγιστος αὐτὸς αὑτοῦ καὶ
the for Thracian Athos where greatest itself than-itself and
περιφανέστατος ἐξανέστηκεν, ἔχων ἑαυτῷ σύμμετρα πλάτη
most-conspicuous has-risen-up having for-itself proportionate breadths
καὶ ὕψη καὶ μέλη καὶ ἄρθρα καὶ διαστήματα μορφοειδῆ,
and heights and limbs and joints and intervals shapely
δύναται κατεργασθεὶς καὶ σχηματισθεὶς εἰκὼν Ἀλεξάνδρου
is-able having-been-worked and having-been-shaped a-likeness of-Alexander
καλεῖσθαι καὶ εἶναι, ταῖς μὲν βάσεσιν ἁπτομένου τῆς
to-be-called and to-be with-the indeed bases touching the
θαλάσσης, τῶν δὲ χειρῶν τῇ μὲν ἐναγκαλιζομένου καὶ
sea of-the and hands with-the-one indeed embracing and
φέροντος πόλιν ἐνοικουμένην μυρίανδρον, τῇ δὲ δεξιᾷ
carrying a-city inhabited of-ten-thousand-men with-the and right
ποταμὸν ἀέναον ἐκ φιάλης σπένδοντος εἰς τὴν θάλασσαν
a-river ever-flowing from a-bowl pouring into the sea
ἐκχεόμενον. χρυσὸν δὲ καὶ χαλκὸν καὶ ἐλέφαντα καὶ ξύλα
pouring-out gold and and bronze and ivory and woods

καὶ βαφάς, ἐκμαγεῖα μικρὰ καὶ ὠνητὰ καὶ κλεπτόμενα καὶ
and dyes casts small and purchasable and stolen and
συγχεόμενα, καταβάλωμεν" ταῦτ' ἀκούσας Ἀλέξανδρος
melted-down let-us-throw-down these-things having-heard Alexander
τὸ μὲν φρόνημα τοῦ τεχνίτου καὶ τὸ θάρσος ἀγασθεὶς
the indeed spirit of-the artist and the boldness having-admired
ἐπῄνεσεν, "ἔα δὲ κατὰ χώραν" ἔφη "τὸν Ἄθω μένειν·
praised let and in place he-said the Athos to-remain
ἀρκεῖ γὰρ ἑνὸς βασιλέως ἐνυβρίσαντος εἶναι μνημεῖον·
it-suffices for of-one king having-committed-outrage to-be a-memorial
ἐμὲ δ' ὁ Καύκασος δείξει καὶ τὰ Ἡμωδὰ καὶ Τάναϊς καὶ
me but the Caucasus will-show and the Emodi and Tanais and
τὸ Κάσπιον πέλαγος, αὗται τῶν ἐμῶν ἔργων εἰκόνες."
the Caspian sea these of-the my deeds likenesses
ἀλλὰ φέρε πρὸς θεῶν ἐκτελεσθῆναι καὶ φανῆναι 3
but come by gods to-have-been-completed and to-have-appeared
τοιοῦτον ἔργον· ἔσθ' ὅστις ἂν ἰδὼν ὑπέλαβε
such a-work is-there anyone-who — having-seen would-have-supposed
κατὰ τύχην γεγονέναι καὶ αὐτομάτως τὸ σχῆμα καὶ
by chance to-have-come-about and spontaneously the shape and
τὴν διάθεσιν καὶ τὸ εἶδος; οὐδεὶς ἂν οἶμαι. τί δὲ τὸν
the disposition and the form no-one — I-think what and the
κεραυνοφόρον; τί δὲ τὸν ἐπὶ τῆς αἰχμῆς προσαγορευόμενον;
thunderbolt-bearer what and the on the spear addressed
εἶτ' ἀνδριάντος μὲν μέγεθος οὐκ ἂν ἄνευ τέχνης ὑπὸ τύχης
then of-a-statue indeed size not — without art by fortune
γένοιτο χρυσὸν καὶ χαλκὸν καὶ ἐλέφαντα καὶ πολλὴν
might-come-about gold and bronze and ivory and much
καὶ πλουσίαν ὕλην καταχεαμένης καὶ παραβαλούσης· ἄνδρα
and rich material having-poured-down and having-supplied a-man
δὲ μέγαν, μᾶλλον δὲ τῶν γεγονότων ἁπάντων μέγιστον,
but great rather and of-the having-been all greatest

ἐνδέχεται χωρὶς ἀρετῆς ἀποτελεσθῆναι διὰ τύχην, ὅπλα
is-it-possible without virtue to-be-completed through fortune arms
καὶ χρήματα καὶ πόλεις καὶ ἵππους παρασκευάσασαν;
and money and cities and horses having-provided
ἃ τῷ μὴ μαθόντι χρῆσθαι κίνδυνός ἐστιν, οὐ δύναμις
which to-the not having-learned to-use a-danger is not power
οὐδὲ κόσμος, ἀλλ' ἔλεγχος τῆς ἀσθενείας καὶ μικρότητος.
nor adornment but a-proof of-the weakness and smallness
ὀρθῶς γὰρ Ἀντισθένης ἔλεγεν ὅτι "πάντα δεῖ τοῖς
rightly for Antisthenes used-to-say that all it-is-needful for-the
πολεμίοις εὔχεσθαι τἀγαθὰ πλὴν ἀνδρείας· γίγνεται γὰρ
enemies to-pray-for the-good-things except courage they-become for
οὕτως οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων" διὰ
thus not of-those having but of-those mastering because-of
τοῦτό φασι καὶ τὴν φύσιν ἀγεννεστάτῳ ζῴῳ τῷ ἐλάφῳ
this they-say also the nature to-most-ignoble animal the deer
κέρατα θαυμαστὰ τῷ μεγέθει καὶ τραχύτητι πρὸς ἄμυναν
horns wonderful in-the size and roughness for defense
ἐμφῦσαι, διδάσκουσαν ἡμᾶς ὡς οὐδὲν ὠφελεῖ τὸ ἰσχύειν
to-have-implanted teaching us that in-no-way helps the to-be-strong
καὶ ὡπλίσθαι τοὺς μένειν καὶ θαρρεῖν μὴ δυναμένους. οὕτω
and to-be-armed those to-stand and to-be-bold not able so
καὶ ἡ τύχη πολλάκις ἀτόλμοις καὶ ἀνοήτοις προσάπτουσα
also the fortune often to-timid and foolish attaching
δυνάμεις καὶ ἀρχάς, αἷς ἐνασχημονοῦσι, κοσμεῖ καὶ
powers and rules in-which they-disgrace-themselves adorns and
συνίστησι τὴν ἀρετὴν ὡς μόνην μέγεθος ἀνδρὸς καὶ κάλλος
commends the virtue as alone greatness of-a-man and beauty
οὖσαν. "εἰ μὲν γὰρ ὥς φησιν Ἐπίχαρμος νοῦς ὁρᾷ καὶ
being if indeed for as says Epicharmus mind sees and
νοῦς ἀκούει, τἄλλα δὲ τυφλὰ καὶ κωφὰ τυγχάνει λόγου
mind hears the-rest and blind and deaf happen of-reason

δεόμενα" αἱ γὰρ αἰσθήσεις ἰδίας ἔχειν ἀφορμὰς δοκοῦσιν·
needing the for senses own to-have resources seem
ὅτι δὲ νοῦς ὠφελεῖ καὶ νοῦς κοσμεῖ καὶ νοῦς τὸ νικῶν καὶ
that and mind helps and mind adorns and mind the conquering and
κρατοῦν καὶ βασιλεῦον, τὰ δ' ἄλλα τυφλὰ καὶ κωφὰ καὶ
mastering and ruling the and other blind and deaf and
ἄψυχα παρέλκει καὶ βαρύνει καὶ καταισχύνει χωρὶς ἀρετῆς
lifeless drags and weighs-down and disgraces without virtue
τοὺς ἔχοντας, ἀπὸ τῶν πραγμάτων λαβεῖν ἔστι. τῆς γὰρ
those having from the facts to-learn it-is-possible of-the for
αὐτῆς δυνάμεως ὑποκειμένης καὶ ἡγεμονίας, Σεμίραμις μὲν
same power underlying and supremacy Semiramis indeed
οὖσα γυνὴ στόλους ἐπλήρου καὶ φάλαγγας ὥπλιζε καὶ
being a-woman fleets manned and phalanxes armed and
Βαβυλῶνας ἔκτιζε, καὶ περιέπλει τὴν Ἐρυθρὰν θάλασσαν
Babylons founded and sailed-around the Red sea
Αἰθίοπας καταστρεφομένη καὶ Ἄραβας· Σαρδανάπαλος δ'
Ethiopians subduing and Arabs Sardanapalus but
ἀνὴρ πεφυκὼς ἔξαινεν οἴκοι πορφύραν, ἀναβάδην ἐν
a-man born carded at-home purple with-legs-up among
ταῖς παλλακαῖς καθήμενος· ἀποθανόντος δ' αὐτοῦ, λιθίνην
the concubines sitting having-died and him a-stone
εἰκόνα κατασκευάσαντες ἐποχουμένην ἑαυτῇ βαρβαριστὶ
likeness having-made riding on-itself in-barbarian-fashion
καὶ τοῖς δακτύλοις ὑπὲρ κεφαλῆς οἷον ὑποψοφοῦσαν,
and with-the fingers over head as-if snapping
ἐπέγραψαν "ἔσθιε, πῖνε, ἀφροδισίαζε· τἆλλα δ' οὐδέν"
inscribed eat drink make-love the-rest and nothing
ὁ μὲν οὖν Κράτης ἰδὼν χρυσῆν εἰκόνα Φρύνης
— indeed then Crates having-seen a-golden likeness of-Phryne
τῆς ἑταίρας ἑστῶσαν ἐν Δελφοῖς ἀνέκραγεν, ὅτι τοῦτο
the courtesan standing in Delphi cried-out that this

τῆς τῶν Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκε· τὸν δὲ
of-the of-the Greeks incontinence trophy stands the and
Σαρδαναπάλου βίον ἄν τις ἢ τάφον οὐδὲν γάρ, οἶμαι,
of-Sardanapalus life — anyone or tomb nothing for I-think
διαφέρει θεασάμενος εἴποι τοῦτο τῶν τῆς Τύχης ἀγαθῶν
it-differs having-viewed might-say this of-the — of-Fortune good-things
τρόπαιον εἶναι. τί οὖν; ἐάσωμεν τὴν Τύχην Ἀλεξάνδρου
trophy to-be what then shall-we-allow — Fortune of-Alexander
μετὰ Σαρδανάπαλον ἅψασθαι καὶ τοῦ μεγέθους ἐκείνου
after Sardanapalus to-touch and of-the greatness of-that
καὶ τῆς δυνάμεως ἀντιποιεῖσθαι; τί γὰρ αὐτῷ πλέον
and of-the power to-lay-claim what for to-him more
ἔδωκεν ὧν οἱ λοιποὶ βασιλεῖς ἔλαβον παρ᾽ αὐτῆς;
did-she-give than-what the other kings received from her
ὅπλων, ἵππων, βελῶν, χρημάτων, δορυφόρων; ποιησάτω
of-arms horses missiles money bodyguards let-her-make
τούτοις ἡ Τύχη μέγαν Ἀριδαῖον, εἰ δύναται· ποιησάτω
with-these — Fortune great Aridaeus if she-can let-her-make
τούτοις μέγαν Ἄμασιν ἢ Ὦχον ἢ Ὀάρσην ἢ Τιγράνην
with-these great Amasis or Ochus or Oarses or Tigranes
τὸν Ἀρμένιον ἢ τὸν Βιθυνὸν Νικομήδην· ὧν ὁ μὲν
the Armenian or the Bithynian Nicomedes of-whom the-one indeed
τὸ διάδημα τοῖς Πομπηίου ποσὶν ὑπορρίψας αἰσχρῶς
the diadem at-the of-Pompey feet having-thrown-down shamefully
τὴν βασιλείαν ἀπέβαλε, λάφυρον γενομένην· Νικομήδης δὲ
the kingship lost booty having-become Nicomedes and
τὴν κεφαλὴν ξυράμενος καὶ πιλίον ἐπιθέμενος ἀπελεύθερον
the head having-shaved and a-cap having-put-on a-freedman
ἑαυτὸν Ῥωμαίων ἀνηγόρευσεν.
himself of-Romans proclaimed

εἴπωμεν οὖν, ὅτι μικροὺς ἡ Τύχη καὶ περιδεεῖς ποιεῖ 4
let-us-say then that small — Fortune and timid makes
καὶ ταπεινόφρονας· ἀλλ᾽ οὐ δίκαιον οὔτε κακίαν εἰς
and abject but not just either vice into
ἀτυχίαν οὔτ᾽ ἀνδρείαν καὶ φρόνησιν εἰς εὐτυχίαν τινὰ
misfortune or courage and prudence into good-fortune any
τίθεσθαι. μέγα δὲ τῷ ἄρχειν Ἀλέξανδρον ἡ Τύχη· καὶ
to-put great but in-the ruling Alexander — Fortune and
γὰρ ἔνδοξος ἐν ἐκείνῳ καὶ ἀήττητος καὶ μεγαλόφρων
for glorious in him and unconquered and high-minded
καὶ ἀνύβριστος καὶ φιλάνθρωπος. εἶτ᾽ ἐκλιπόντος εὐθύς,
and not-insolent and humane then having-died at-once
ὁ Λεωσθένης ἔλεγε τὴν δύναμιν ἐμπλανωμένην ἑαυτῇ
— Leosthenes said the force wandering about-itself
καὶ περιπίπτουσαν ἐοικέναι τῷ Κύκλωπι, μετὰ τὴν
and falling-on-itself to-resemble the Cyclops after the
τύφλωσιν ἐκτείνοντι πανταχοῖ τὰς χεῖρας ἐπ᾽ οὐδένα
blinding stretching-out everywhere the hands at no
σκοπὸν φερομένας· οὕτως ἐρρέμβετο κενεμβατοῦν καὶ
target directed so it-roamed treading-on-empty-air and
σφαλλόμενον ὑπ᾽ ἀναρχίας τὸ μέγεθος αὐτῆς. μᾶλλον δ᾽
stumbling from anarchy the greatness of-it rather and
ὥσπερ τὰ νεκρὰ σώματα, τῆς ψυχῆς ἐκλιπούσης, οὐκέτι
like the dead bodies the soul having-departed no-longer
συνέστηκεν οὐδὲ συμπέφυκεν, ἀλλ᾽ ἐξίσταται καὶ διαλύεται
holds-together nor coheres but separates and is-dissolved
ἀπ᾽ ἀλλήλων καὶ ἄπεισι καὶ φεύγει· οὕτως ἀφεῖσα τὸν
from one-another and departs and flees so having-let-go —
Ἀλέξανδρον ἡ δύναμις ἤσπαιρεν, ἐπάλλετο, ἐφλέγμαινε,
Alexander the force gasped throbbed was-inflamed
Περδίκκαις καὶ Μελεάγροις καὶ Σελεύκοις καὶ Ἀντιγόνοις,
with-Perdiccases and Meleagers and Seleucuses and Antigonuses

ὥσπερ πνεύμασι θερμοῖς ἔτι καὶ σφυγμοῖς διάττουσι καὶ
as with-breaths hot still and pulses darting and
διαφερομένοις· τέλος δ' ἀπομαραινομένη καὶ φθίνουσα
quarreling at-last and withering and wasting
περὶ αὑτὴν οἷον εὐλάς τινας ἀνέζεσεν ἀγεννῶν βασιλέων
about itself as-it-were maggots some it-bred of-ignoble kings
καὶ ἡγεμόνων ψυχορραγούντων. αὐτὸς μὲν οὖν ταῦθ'
and commanders breathing-their-last himself indeed then these-things
ὡς ἔοικεν Ἡφαιστίωνι διενεχθέντι πρὸς Κρατερὸν ἐπιτιμῶν
as it-seems to-Hephaestion having-quarreled with Craterus rebuking
"τίς δ'" εἶπεν "ἡ σὴ δύναμις ἢ πρᾶξις, ἄν σού τις
what and he-said the your power or deed if from-you anyone
ἀφέλῃ τὸν Ἀλέξανδρον;" ἐγὼ δὲ τοῦτ' εἰπεῖν πρὸς τὴν τότε
take-away — Alexander I but this to-say to the then
Τύχην οὐκ ὀκνήσω "τί σου τὸ μέγεθος, τίς δ' ἡ δόξα,
Fortune not shall-hesitate what of-you the greatness what and the glory
ποῦ δ' ἡ δύναμις, ποῦ δὲ τὸ ἀνίκητον, ἄν σού τις
where and the power where and the invincible if from-you anyone
ἀφέλῃ τὸν Ἀλέξανδρον;" τουτέστιν "ἂν σού τις ἀφέλῃ
take-away — Alexander that-is if from-you anyone take-away
τῶν ὅπλων τὴν ἐμπειρίαν, τοῦ πλούτου τὴν φιλοτιμίαν,
of-the arms the experience of-the wealth the generosity
τῆς πολυτελείας τὴν ἐγκράτειαν, ὧν ἀγωνίζῃ τὸ θάρσος,
of-the extravagance the self-restraint in-what you-contend the daring
ἐν οἷς κρατεῖς τὴν πραότητα; ποίησον ἄλλον εἰ δύνασαι
in which you-conquer the gentleness make another if you-can
μέγαν, τοῖς χρήμασι μὴ χαριζόμενον, τοῖς στρατεύμασι
great with-the money not giving to-the armies
μὴ προκινδυνεύοντα, τοὺς φίλους μὴ τιμῶντα, τοὺς
not risking-first the friends not honoring the
αἰχμαλώτους μὴ ἐλεοῦντα, ταῖς ἡδοναῖς μὴ σωφρονοῦντα,
captives not pitying in-the pleasures not being-temperate

τοῖς καιροῖς μὴ ἀγρυπνοῦντα, ταῖς νίκαις μὴ εὐδιάλλακτον,
in-the crises not keeping-awake in-the victories not easily-reconciled
τοῖς κατορθώμασι μὴ φιλάνθρωπον. τίς μέγας ἐν ἐξουσίαις
in-the successes not humane who great in powers
μετ᾽ ἀβελτερίας καὶ μοχθηρίας; ἄφελε τὴν ἀρετὴν τοῦ
with folly and wickedness take-away the virtue of-the
εὐτυχοῦντος, καὶ πανταχοῦ μικρός ἐστιν, ἐν χάρισι διὰ
fortunate-man and everywhere small he-is in favors through
σμικρολογίαν, ἐν πόνοις διὰ μαλακίαν, παρὰ θεοῖς διὰ
stinginess in toils through softness before gods through
δεισιδαιμονίαν, πρὸς ἀγαθοὺς διὰ φθόνον, ἐν ἀνδράσι
superstition toward the-good through envy among men
διὰ φόβον, ἐν γυναιξὶ διὰ φιληδονίαν᾽᾽ ὥσπερ γὰρ
through fear among women through love-of-pleasure as for
οἱ φαῦλοι τεχνῖται βάσεις μεγάλας μικροῖς ὑφιστάντες
the poor artists bases great to-small setting-under
ἀναθήμασιν ἐλέγχουσιν αὐτῶν καὶ τὰς μικρότητας· οὕτως
dedications expose their also the smallnesses so
ἡ Τύχη ὅταν μικρὸν ἦθος ἐξάρῃ πράγμασιν ἔχουσιν
— Fortune when a-small character she-lifts-up by-affairs having
ὄγκον τινὰ καὶ περιφάνειαν, ἐπιδείκνυσι μᾶλλον καὶ
bulk some and conspicuousness she-shows more and
καταισχύνει σφαλλόμενον καὶ σαλευόμενον ὑπὸ κουφότητος.
disgraces stumbling and tottering from levity
ὅθεν οὐκ ἐν τῇ κτήσει τῶν ἀγαθῶν ἀλλ᾽ ἐν τῇ χρήσει τὸ μέγ᾽ 5
whence not in the possession of-the goods but in the use the great
ἐστίν, ἐπεὶ καὶ νήπια βρέφη κληρονομεῖ βασιλείας πατρώας
is since also infant babes inherit kingdoms ancestral
καὶ ἀρχάς, ὡς Χάριλλος, ὃν Λυκοῦργος ἅμα τῷ
and rules as Charillus whom Lycurgus together-with the
σπαργάνῳ κομίσας εἰς τὸ φιδίτιον ἀνθ᾽ ἑαυτοῦ βασιλέα
swaddling-band having-carried into the common-mess instead-of himself king

τῆς Σπάρτης ἀνηγόρευσε· καὶ οὐκ ἦν μέγας ὁ νήπιος,
— *of-Sparta proclaimed and not was great the infant*
ἀλλ' ὁ τῷ νηπίῳ τὸ πατρῷον ἀποδοὺς γέρας καὶ
but the-one to-the infant the ancestral having-given-back prerogative and
μὴ σφετερισάμενος μηδ' ἀποστερήσας. Ἀριδαῖον δὲ τίς ἂν
not having-appropriated nor having-deprived Aridaeus but who —
ἐποίησε μέγαν, ὃν οὐδὲν νηπίου διαφέροντα μονονοὺ
would-have-made great whom in-nothing from-an-infant differing all-but
σπαργανώσας τῇ πορφύρᾳ Μελέαγρος εἰς τὸν Ἀλεξάνδρου
having-swaddled in-the purple Meleager into the of-Alexander
θρόνον ἔθηκεν, εὖ γε ποιῶν, ἵν' ὀφθῇ παρ' ἡμέρας
throne set well indeed doing so-that it-might-be-seen for days
ὀλίγας, πῶς ἀρετῇ βασιλεύουσιν ἄνθρωποι καὶ πῶς τύχῃ.
few how by-virtue reign men and how by-fortune
ἀγωνιστῇ γὰρ ἡγεμονίας ὑποκριτὴν ἐπεισήγαγε, μᾶλλον δ'
for-a-competitor for of-leadership an-actor he-brought-in rather and
ὡς ἐπὶ σκηνῆς τὸ διάδημα κωφὸν διεξῆλθε τῆς οἰκουμένης.
as on a-stage the diadem dumb passed-through the inhabited-world

καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη.
and — a-woman might-carry the-load since — a-man should-put-it-on

τοὐναντίον μὲν οὖν εἴποι τις ἄν, ὅτι λαβεῖν καὶ
the-contrary indeed then might-say one — that to-take and
ἀναθέσθαι δύναμιν καὶ πλοῦτον καὶ ἀρχὴν καὶ γυναικός
to-put-on power and wealth and rule both of-a-woman
ἐστι καὶ παιδός· Ὀάρσῃ καὶ Δαρείῳ Βαγώας ὁ εὐνοῦχος
is and of-a-child for-Oarses and for-Darius Bagoas the eunuch
ἀράμενος ἐπέθηκε τὴν Περσῶν βασιλείαν· τὸ δὲ λαβόντα
having-lifted put-on the of-Persians kingship the but having-taken
μεγάλην ἐξουσίαν ἐνεγκεῖν καὶ μεταχειρίσασθαι καὶ μὴ
great authority to-bear and to-handle and not

συντριβῆναι μηδὲ διαστραφῆναι τῷ βάρει καὶ μεγέθει
to-be-crushed nor to-be-distorted by-the weight and greatness
τῶν πραγμάτων, ἀνδρός ἐστιν ἀρετὴν καὶ νοῦν καὶ
of-the affairs of-a-man is virtue and mind and
φρόνημ᾽ ἔχοντος· ἦν Ἀλέξανδρος ἔσχεν, ᾧ μέθην
spirit having which Alexander had against-whom drunkenness
τινὲς ἐγκαλοῦσι καὶ οἴνωσιν. ὁ δ᾽ ἦν μέγας, ἐν τοῖς
some charge and wine-bibbing he but was great in the
πράγμασι νήφων καὶ μὴ μεθυσθεὶς μηδὲ βακχευθεὶς ὑπ᾽
affairs sober and not intoxicated nor made-frenzied by
ἐξουσίας καὶ δυνάμεως, ἧς μικρὸν ἕτεροι μεταλαβόντες
authority and power of-which a-little others having-partaken
καὶ ἀπογευσάμενοι κρατεῖν ἑαυτῶν οὐ δύνανται·
and having-tasted to-master themselves not are-able

κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,
base for having-been-filled either with-money
ἢ πόλεος ἐμπεσόντες εἰς τιμάς τινας,
or of-a-city having-fallen into honors some
σκιρτῶσιν, ἀδόκητ᾽ εὐτυχησάντων δόμων.
leap unexpectedly having-been-fortunate houses

Κλεῖτος ἐν Ἀμοργῷ τρεῖς ἢ τέτταρας Ἑλληνικὰς
Cleitus at Amorgos three or four Greek
ἀνατρέψας τριήρεις Ποσειδῶν ἀνηγορεύθη καὶ τρίαιναν
having-capsized triremes Poseidon was-proclaimed and a-trident
ἐφόρει. Δημήτριος δέ, ᾧ τῆς Ἀλεξάνδρου δυνάμεως
wore Demetrius and to-whom of-the of-Alexander power
ἡ Τύχη σμικρὸν ἀποσπάσασα προσέθηκε, Καταιβάτης
— Fortune a-small-part having-torn-off added the-Descender
καλούμενος ὑπήκουε, καὶ πρέσβεις πρὸς αὐτὸν οὐκ ἔπεμπον
being-called answered and envoys to him not sent

ἀλλὰ θεωροὺς αἱ πόλεις, καὶ τὰς ἀποκρίσεις χρησμοὺς
but sacred-envoys the cities and the answers oracles
προσηγόρευον. Λυσίμαχος τὰ περὶ Θρᾴκην ὥσπερ
called Lysimachus the-parts about Thrace as
ἐσχατιάς τινας τῆς βασιλείας κατασχὼν εἰς τοσοῦτον
outskirts some of-the kingdom having-seized to such
ὑπεροψίας ἔφθασε καὶ θρασύτητος, ὥστ᾽ εἰπεῖν "νῦν Βυζάντιοι
arrogance came and audacity that to-say now Byzantines
πρὸς ἐμὲ ἥκουσιν, ὅτε τῇ λόγχῃ τοῦ οὐρανοῦ ἅπτομαι"
to me come when with-the spear the heaven I-touch
παρὼν δὲ Πασιάδης ὁ Βυζάντιος "ὑπάγωμεν" ἔφη "μὴ
being-present and Pasiades the Byzantine let-us-go-away he-said lest
τῇ ἐπιδορατίδι τὸν οὐρανὸν τρυπήσῃ" καίτοι τί ἂν περὶ
with-the spear-point the heaven he-pierce and-yet what — about
τούτων λέγοι τις, οἷς ἐξῆν δι᾽ Ἀλέξανδρον μέγα
these might-say anyone to-whom it-was-possible through Alexander great
φρονεῖν, ὅπου καὶ Κλέαρχος Ἡρακλείας τύραννος γενόμενος
to-think when even Clearchus of-Heraclea tyrant having-become
σκηπτὸν ἐφόρει, καὶ τῶν υἱῶν ἕνα Κεραυνὸν ὠνόμασε;
a-thunderbolt carried and of-the sons one Thunderbolt named
Διονύσιος δ᾽ Ἀπόλλωνος υἱὸν ἑαυτὸν ὠνόμασεν, ἐπιγράψας
Dionysius and of-Apollo son himself named having-inscribed

Δωρίδος ἐκ μητρὸς Φοίβου κοινώμασι βλαστών.
of-Doris from mother of-Phoebus by-union sprung

ὁ δὲ πατὴρ αὐτοῦ τῶν μὲν πολιτῶν μυρίους ἢ καὶ
the and father his of-the indeed citizens ten-thousand or even
πλείους ἀνελών, προδοὺς δὲ τὸν ἀδελφὸν ὑπὸ φθόνου
more having-killed having-betrayed and the brother from envy
τοῖς πολεμίοις, οὐκ ἀναμείνας δὲ τὴν μητέρα γραῦν οὖσαν
to-the enemies not having-waited and the mother old being

ὀλίγαις ἡμέραις ἀποθανεῖν ὕστερον ἀλλ᾽ ἀποπνίξας, ἐν
in-few days to-die later but having-strangled-her in
δὲ τραγῳδίᾳ γράψας αὐτὸς
and a-tragedy having-written himself

ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ
the for tyranny of-injustice mother is

ὅμως τῶν θυγατέρων τὴν μὲν Ἀρετὴν τὴν δὲ
nevertheless of-the daughters the-one indeed Virtue another and
Σωφροσύνην ὠνόμασε τὴν δὲ Δικαιοσύνην. οἱ δ᾽
Self-Control named the-other and Justice some and
Εὐεργέτας οἱ δὲ Καλλινίκους οἱ δὲ Σωτῆρας οἱ
Benefactors others and Glorious-Victors others and Saviors others
δὲ Μεγάλους ἀνηγόρευσαν ἑαυτούς. γάμους δ᾽ αὐτῶν
and Great proclaimed themselves marriages and their
ἐπαλλήλους ὥσπερ ἵππων ἐν ἀγέλαις γυναικῶν ἀνέδην
one-upon-another as of-horses in herds of-women unchecked
διημερευόντων, καὶ φθορὰς παίδων καὶ τυμπανισμοὺς ἐν
spending-the-day and corruptions of-boys and drum-beatings among
ἀνδρογύνοις καὶ κυβείας μεθημερινὰς καὶ αὐλήσεις ἐν
effeminates and dicings by-day and flute-playings in
θεάτροις, καὶ νύκτα μὲν ἐν δείπνοις ἡμέραν δ᾽ ἐν ἀρίστοις
theaters and night indeed in dinners day and in breakfasts
ἐπιλείπουσαν, οὐδεὶς ἂν ἐφίκοιτο τῷ λόγῳ διελθεῖν.
failing no-one — could-reach in-the speech to-go-through
ἀλλ᾽ Ἀλέξανδρος ἠρίστα μὲν ὄρθρου καθεζόμενος, ἐδείπνει 6
but Alexander breakfasted indeed at-dawn sitting dined
δὲ πρὸς ἑσπέραν βαθεῖαν, ἔπινε δὲ θύσας τοῖς θεοῖς,
and toward evening late drank and having-sacrificed to-the gods
ἐκύβευε δὲ πρὸς Μήδιον πυρέττων, ἔπαιζε δ᾽ ὁδοιπορῶν
diced and with Medius having-a-fever played and marching

ἅμα καὶ μανθάνων τοξεύειν καὶ ἀποβαίνειν ἅρματος. ἔγημε
at-once and learning to-shoot and to-dismount from-a-chariot married
δὲ Ῥωξάνην ἑαυτῷ μόνην ἐρασθείς· τὴν δὲ Δαρείου
and Roxane for-himself alone having-fallen-in-love — and of-Darius
Στάτειραν τῇ βασιλείᾳ καὶ τοῖς πράγμασι (συνέφερε γὰρ
Stateira for-the kingdom and the affairs was-advantageous for
ἡ τῶν γενῶν ἀνάμιξις)· τῶν δ' ἄλλων Περσίδων ἐκράτησε
the of-the races mixing of-the and other Persian-women he-was-master
τοσοῦτο σωφροσύνῃ, ὅσον ἀνδρείᾳ Περσῶν· ἄκουσαν μὲν
so-much by-self-control as by-courage of-Persians unwilling indeed
γὰρ οὐκ εἶδεν, ἂς δ' εἶδε μᾶλλον ἢ ἂς οὐκ εἶδε παρῆλθε.
for not he-saw whom and he-saw more than whom not he-saw he-passed-by
καὶ πᾶσιν ὢν τοῖς ἄλλοις φιλάνθρωπος, μόνοις ὑπερηφάνως
and to-all being the others humane only arrogantly
τοῖς καλοῖς ἐχρῆτο. περὶ δὲ τῆς Δαρείου γυναικός,
the beautiful he-treated about and the of-Darius wife
εὐπρεπεστάτης γενομένης, οὐδὲ φωνὴν ἐπαινοῦσαν τὸ
most-comely having-been not-even a-voice praising the
κάλλος ἤκουσεν ἀποθανοῦσαν δ' οὕτω βασιλικῶς ἐκόσμησε
beauty he-heard having-died but so royally he-adorned
καὶ συμπαθῶς ἐδάκρυσεν, ὥστ' ἄπιστον αὐτοῦ τὸ σῶφρον ἐν
and sympathetically wept that incredible his the self-control in
τῷ φιλανθρώπῳ γενέσθαι καὶ λαβεῖν ἀδικίας ἔγκλημα τὴν
the humanity to-become and to-receive of-wrong a-charge the
χρηστότητα. Δαρεῖος γὰρ οὕτως ἐκινήθη πρὸς τὴν ἐξουσίαν
kindness Darius for so was-moved toward the power
αὐτοῦ καὶ τὴν ἡλικίαν· εἷς γὰρ ἦν καὶ αὐτὸς ἔτι τῶν
his and the youth one for was also himself still of-those
νομιζόντων διὰ Τύχην κρατεῖν Ἀλέξανδρον ἐπεὶ δὲ τἀληθὲς
thinking through Fortune to-prevail Alexander when and the-truth
ἔγνω βασανίσας πανταχόθεν, "οὐ πάντως" εἶπεν "ἄρα
he-knew having-tested-it from-every-side not altogether he-said then

φαύλως ἔχει τὰ Περσῶν, οὐδέ τις ἐρεῖ παντάπασι
badly fare the-affairs of-Persians nor anyone will-say altogether
κακοὺς ἡμᾶς οὐδ' ἀνάνδρους ὑπὸ τοιούτου κρατηθέντας.
base us nor unmanly by such having-been-conquered
ἐγὼ δ' εὐτυχίαν μὲν εὔχομαι καὶ κράτος πολέμου παρὰ
I but good-fortune indeed pray-for and might of-war from
θεῶν, ἵν' εὖ ποιῶν Ἀλέξανδρον ὑπερβάλωμαι· καί μέ τις
gods so-that well doing Alexander I-may-surpass and me some
ἔχει φιλοτιμία καὶ ζῆλος ἡμερώτερον αὐτοῦ φανῆναι· εἰ
has ambition and emulation gentler than-him to-appear if
δ' οἴχεται τὰ ἐμά, Ζεῦ πατρῷε Περσῶν καὶ βασίλειοι θεοί,
but are-gone the my Zeus ancestral of-Persians and royal gods
μηδεὶς εἰς τὸν Κύρου θρόνον ἄλλος ἢ Ἀλέξανδρος καθίσειε"
no-one on the of-Cyrus throne other than Alexander may-sit
τοῦτ' εἰσποίησις ἦν Ἀλεξάνδρου διὰ θεῶν μαρτύρων.
this an-adoption was of-Alexander through gods as-witnesses
οὕτω νικῶσιν ἀρετῇ. πρόσγραψον, εἰ βούλει, τῇ Τύχῃ 7
so they-conquer by-virtue ascribe if you-wish — to-Fortune
τὰ Ἄρβηλα καὶ τὴν Κιλικίαν, καὶ τἄλλα, ἃ γέγονε
— Arbela and — Cilicia and the-other-things which have-been
βίας ἔργα καὶ πολέμου· Τύχη τὴν Τύρον ἔσεισεν αὐτῷ,
of-force works and of-war Fortune — Tyre shook for-him
καὶ Τύχη τὴν Αἴγυπτον ἀνέῳξε· διὰ Τύχην Ἁλικαρνασσὸς
and Fortune — Egypt opened through Fortune Halicarnassus
ἔπεσε καὶ Μίλητος ἑάλω καὶ Μαζαῖος Εὐφράτην ἔρημον
fell and Miletus was-taken and Mazaeus Euphrates deserted
ἀπέλιπε καὶ νεκρῶν τὸ Βαβυλώνιον ἐπλήσθη πεδίον·
left and with-corpses the Babylonian was-filled plain
ἀλλ' οὔτι γε σώφρων ἀπὸ Τύχης οὔτ' ἐγκρατὴς διὰ
but not at-least self-controlled from Fortune nor continent through
Τύχην, οὔτ' ἀνάλωτον ὑφ' ἡδονῆς ἡ Τύχη καὶ ἄτρωτον
Fortune nor uncapturable by pleasure — Fortune and invulnerable

ἐπιθυμίαις κατακλείσασα τὴν ψυχὴν ἐφρούρει. καὶ μὴν
to-desires having-shut-in the soul guarded and indeed
ταῦτ' ἦν, οἷς αὐτὸν ἐτρέψατο Δαρεῖον τἄλλα δ'
these-things were by-which himself he-routed Darius the-rest and
ὅπλων ἦσαν ἥτται καὶ ἵππων καὶ μάχαι καὶ φόνοι καὶ
of-arms were defeats and of-horses and battles and slaughters and
φυγαὶ ἀνδρῶν. τὴν δὲ μεγάλην καὶ ἀναντίρρητον ἥτταν
flights of-men the but great and incontestable defeat
ἡττήθη Δαρεῖος καὶ ἐνέκλινεν ἀρετῇ καὶ μεγαλοφροσύνῃ
was-defeated Darius and gave-way to-virtue and greatness-of-soul
καὶ ἀνδρείᾳ καὶ δικαιοσύνῃ, θαυμάσας τὸ ἐν ἡδονῇ
and courage and justice having-admired the in pleasure
καὶ πόνοις καὶ χάρισιν ἀνίκητον. ἐπεὶ ἔν γε πέλταις
and toils and favors invincible since in at-least light-shields
καὶ σαρίσσαις καὶ ἀλαλαγμοῖς καὶ συρράξεσιν ὅπλων
and pikes and war-cries and clashings of-arms
ἀνίκητος ἦν καὶ Ταρρίας ὁ Δεινομένους καὶ Ἀντιγένης
invincible was also Tarrias the son-of-Deinomenes and Antigenes
ὁ Πελληναῖος καὶ Φιλώτας ὁ Παρμενίωνος, ἀλλὰ πρὸς
the Pellenian and Philotas the son-of-Parmenio but toward
ἡδονὰς καὶ γύναια καὶ χρυσίον καὶ ἀργύριον οὐθέν τι
pleasures and women and gold and silver nothing at-all
βελτίους τῶν αἰχμαλώτων· ἀλλὰ Ταρρίας μὲν ὅτε τῶν
better than-the captives but Tarrias indeed when from-the
χρεῶν ἠλευθέρου Μακεδόνας Ἀλέξανδρος καὶ διελύετο
debts was-freeing Macedonians Alexander and was-paying
τοῖς δανείσασιν ὑπὲρ πάντων, ψευσάμενος ὀφείλειν καὶ
to-the lenders for all having-lied to-owe and
δανειστήν τινα φάσκοντα εἶναι τῇ τραπέζῃ προσαγαγών,
a-lender one claiming to-be to-the bank having-brought
εἶτα φωραθείς, ὀλίγου διέφθειρεν αὐτὸς ἑαυτόν· εἰ μὴ
then having-been-detected almost destroyed he himself if not

γνοὺς Ἀλέξανδρος ἀφῆκε τῆς αἰτίας αὐτὸν καὶ
having-learned Alexander had-released from-the charge him and
συνεχώρησεν ἔχειν τὰργύριον, ἀναμνησθεὶς ὅτι Φιλίππου
allowed to-keep the-silver having-remembered that Philip
προσμαχομένου Περίνθῳ βέλει πληγεὶς τὸν ὀφθαλμόν,
fighting-against Perinthus by-a-missile having-been-struck the eye
οὐ παρέσχεν οὐδ' ὑπέμεινεν ἐξαιρεθῆναι τὸ βέλος αὑτοῦ
not he-allowed nor endured to-be-taken-out the missile from-him
πρὶν ἢ τρέψασθαι τοὺς πολεμίους. Ἀντιγένης δὲ τοῖς
before than to-rout the enemies Antigenes and with-those
ἀποπεμφθεῖσιν εἰς Μακεδονίαν διὰ νόσον καὶ πήρωσιν
being-sent-off to Macedonia through sickness and maiming
ἀναμίξας ἑαυτὸν καὶ ἀπογραψάμενος, ὡς ἐλήφθη
having-mixed himself and having-enrolled when he-was-detected
μηδὲν κακὸν ἔχων, ἀλλὰ προσποιούμενος ἀρρωστίαν
no ill having but pretending infirmity
τινά, ἀνὴρ πολεμικὸς καὶ τραυμάτων τὸ σῶμα μεστὸς
some a-man warlike and of-wounds the body full
ὀφθεὶς ἠνίασε τὸν Ἀλέξανδρον· πυνθανομένου δὲ τὴν
having-been-seen grieved — Alexander asking and the
αἰτίαν, ὡμολόγησε Τελεσίππης ἐρᾶν καὶ συνακολουθεῖν
cause he-confessed Telesippa to-love and to-follow
ἐπὶ θάλασσαν ἀπιούσῃ μὴ δυνάμενος ἀπολειφθῆναι. "καὶ
to the-sea her-departing not being-able to-be-left-behind and
τίνος" ἔφη "τὸ γύναιόν ἐστιν" ὁ Ἀλέξανδρος "καὶ πρὸς
of-whom he-said the woman is — Alexander and with
τίνα δεῖ διαλέγεσθαι;" τοῦ δ' Ἀντιγένους εἰπόντος ὡς
whom it-is-needful to-talk — and of-Antigenes having-said that
ἐλευθέρα ἐστίν, "οὐκοῦν" εἶπε "πείθωμεν αὐτὴν καταμένειν,
free she-is then he-said let-us-persuade her to-stay
ἐπαγγελλόμενοι καὶ διδόντες." οὕτω παντὶ μᾶλλον ἐρῶντι
promising and giving so for-every rather lover

συγγνώμην εἶχεν ἢ αὑτῷ. καὶ μὴν καὶ Φιλώτας ὁ
pardon he-had than for-himself and indeed also Philotas the
Παρμενίωνος τροφόν τινα τῶν κακῶν ἔσχε τὴν ἀκρασίαν.
son-of-Parmenio a-nurse some of-the evils had the incontinence
Ἀντιγόνα γὰρ ἦν Πελλαῖον γύναιον ἐν τοῖς περὶ
Antigona for was of-Pella a-woman among the about
Δαμασκὸν αἰχμαλώτοις, ἡλώκει δ' ὑπ' Αὐτοφραδάτου
Damascus captives she-had-been-taken and by Autophradates
πρότερον εἰς Σαμοθράκην διαπλεύσασα, τὴν δ' ὄψιν
earlier to Samothrace having-sailed the and appearance
ἦν ἱκανή, καὶ τὸν Φιλώταν ἁψάμενον αὐτῆς εἶχε μάλα.
she-was sufficient and — Philotas having-touched her she-held very-much
καὶ δὴ ὁ σιδάρεος ἐκεῖνος πεπαινόμενος οὐκ ἐκράτει
and indeed the iron that softened not mastered
τῶν λογισμῶν ἐν ταῖς ἡδοναῖς, ἀλλ' ἀνοιγόμενος ἐξέφερε
the reasonings in the pleasures but opening-up he-carried-out
πολλὰ τῶν ἀπορρήτων πρὸς αὐτήν. "τί γὰρ ἦν ἐκεῖνος
many of-the secrets to her what for was that
ὁ Φίλιππος, εἰ μὴ Παρμενίων; τί δ' Ἀλέξανδρος οὗτος,
— Philip if not Parmenio what and Alexander this
εἰ μὴ Φιλώτας; ποῦ δ' ὁ Ἄμμων, ποῦ δ' οἱ δράκοντες,
if not Philotas where and — Ammon where and the serpents
ἂν ἡμεῖς μὴ θέλωμεν;" τούτους τοὺς λόγους ἡ Ἀντιγόνα
if we not wish these the words — Antigona
ἐξήνεγκε πρός τινα τῶν συνήθων γυναικῶν, ἐκείνη δὲ πρὸς
carried-out to one of-the intimate women she and to
Κρατερόν· Κρατερὸς δὲ πρὸς Ἀλέξανδρον αὐτὴν εἰσήγαγε
Craterus Craterus and to Alexander herself brought-in
τὴν Ἀντιγόναν κρύφα, καὶ τοῦ μὲν σώματος οὐκ ἔθιγεν
— Antigona secretly and the indeed body not he-touched
ἀλλ' ἀπέσχετο· τὸν δὲ Φιλώταν ὑποικουρῶν δι' αὐτῆς
but he-kept-away — and Philotas watching-in-secret through her

ὅλον ἐφώρασε, καὶ πλέον ἢ ἑπτὰ ἐτῶν διαγενομένων, οὐκ
whole he-detected and more than seven years having-elapsed not
ἐν οἴνῳ ποτὲ τὴν ὑπόνοιαν ταύτην ἐξέφηνεν ὁ μεθύων,
in wine ever the suspicion this he-disclosed the drunkard
οὐ δι᾽ ὀργὴν ὁ θυμοειδής, οὐ πρὸς φίλον ὁ πάντα
not through anger the passionate not to a-friend the all-things
πιστεύων Ἡφαιστίωνι καὶ πάντων μεταδιδούς. λέγεται γὰρ
trusting to-Hephaestion and of-all sharing it-is-said for
ὅτι καὶ τῆς μητρὸς ἀπόρρητον ἐπιστολὴν λύσαντος αὐτοῦ
that also of-the mother secret a-letter having-opened him
καὶ σιωπῇ πρὸς ἑαυτὸν ἀναγιγνώσκοντος, Ἡφαιστίων
and in-silence to himself reading Hephaestion
ἀτρέμα παραβάλλων τὴν κεφαλὴν συνανεγίγνωσκεν· ὁ δὲ
quietly putting-beside the head read-along he and
κωλῦσαι μὲν οὐχ ὑπέμεινεν, ἐξελὼν δὲ τὸν δακτύλιον
to-prevent indeed not endured having-taken-off and the ring
προσέθηκε τὴν σφραγῖδα τῷ στόματι τοῦ Ἡφαιστίωνος.
put the seal to-the mouth — of-Hephaestion
ἀλλὰ ταῦτα μὲν ἄν τις ἀπείποι λέγων, οἷς ἀποδείκνυται 8
but these-things indeed — one might-tire-of saying by-which it-is-shown
κάλλιστα καὶ βασιλικώτατα τὴν ἐξουσίαν διατιθέμενος. καὶ
most-nobly and most-royally the power disposing and
γὰρ εἰ διὰ Τύχην μέγας γέγονε, μείζων ἐστίν, ὅτι τῇ
for if through Fortune great he-has-become greater he-is because —
Τύχῃ καλῶς κέχρηται· καὶ ὅσῳ τις ἂν μᾶλλον αὐτοῦ
Fortune nobly he-has-used and by-as-much-as one — more his
τὴν Τύχην ἐπαινῇ, τοσούτῳ μᾶλλον αὔξει τὴν ἀρετήν,
— Fortune praises by-so-much more he-increases the virtue
δι᾽ ἣν ἄξιος τῆς Τύχης ἐγένετο· οὐ μὴν ἀλλ᾽ ἤδη
through which worthy — of-Fortune he-became not indeed but already
πρὸς τὰ πρῶτα τῆς αὐξήσεως αὐτοῦ καὶ τὰς ἀρχὰς τῆς
toward the first-steps of-the growth his and the beginnings of-the

δυνάμεως βαδίζω, καὶ σκοπῶ τί τὸ τῆς Τύχης ἔργον ἐν
power I-go and consider what the — of-Fortune work in
ἐκείνοις γέγονε, δι' ὅ φασιν Ἀλέξανδρον ὑπὸ τῆς Τύχης
those-things has-been through which they-say Alexander by — Fortune
μέγαν γεγονέναι. πῶς γὰρ οὐχὶ τὸν ἄτρωτον, ὦ Ζεῦ, τὸν
great to-have-become how for not the unwounded O Zeus the
ἀναίμακτον, τὸν ἀστράτευτον, ὃν χρεμετίσας ἵππος εἰς
bloodless the unwarlike whom having-neighed a-horse on
τὸν Κύρου θρόνον ἐκάθισεν, ὡς Δαρεῖον τὸν Ὑστάσπου
the of-Cyrus throne set as Darius the son-of-Hystaspes
πρότερον; ἢ κολακευθεὶς ἀνὴρ ὑπὸ τῆς γυναικός, ὡς
earlier or flattered a-husband by the wife as
Ξέρξην Δαρεῖος ὑπ' Ἀτόσσης; ἐπὶ θύρας αὐτῷ τὸ διάδημα
Xerxes Darius by Atossa to doors for-him the diadem
τῆς βασιλείας ἦλθεν, ὥσπερ Ὀάρσῃ διὰ Βαγώαν, καὶ
of-the kingship came as to-Oarses through Bagoas and
στολὴν ἐκδυσάμενος ἀστάνδου περιέθετο τὴν βασιλικὴν
a-robe having-stripped-off of-a-courier he-put-on the royal
καὶ ὀρθοπαγῆ κίταριν; ἐξαίφνης καὶ ἀπροσδοκήτως κλήρῳ
and upright tiara suddenly and unexpectedly by-lot
λαχὼν τῆς οἰκουμένης ἐβασίλευσεν, ὡς Ἀθήνησι κλήρῳ
having-obtained of-the inhabited-world he-reigned as at-Athens by-lot
θεσμοθετοῦσι καὶ ἄρχουσι; βούλει μαθεῖν, πῶς βασιλεύουσιν
they-make-laws and rule do-you-wish to-learn how reign
ἄνθρωποι διὰ Τύχην; ἐξέλιπέ ποτ' Ἀργείοις τὸ Ἡρακλειδῶν
men through Fortune failed once for-Argives the of-Heraclidae
γένος, ἐξ οὗ βασιλεύεσθαι πάτριον ἦν αὐτοῖς· ζητοῦσι δὲ
race from which to-be-ruled-by-kings ancestral was for-them seeking and
καὶ διαπυνθανομένοις ὁ θεὸς ἔχρησεν ἀετὸν δείξειν· καὶ
and inquiring the god gave-oracle an-eagle to-be-going-to-show and
μεθ' ἡμέρας ὀλίγας ἀετὸς ὑπερφανεὶς καὶ κατάρας ἐπὶ
after days few an-eagle having-appeared-above and having-swooped on

τὴν Αἴγωνος οἰκίαν ἐκάθισε, καὶ βασιλεὺς ἡρέθη Αἴγων.
the of-Aegon house sat and king was-chosen Aegon
πάλιν ἐν Πάφῳ, τοῦ βασιλεύοντος ἀδίκου καὶ πονηροῦ
again in Paphos the reigning unjust and wicked
φανέντος, ἐκβαλὼν τοῦτον Ἀλέξανδρος ἕτερον ἐζήτει, τοῦ
having-appeared having-driven-out this-one Alexander another sought the
Κινυραδῶν γένους ἤδη φθίνειν καὶ ἀπολείπειν δοκοῦντος.
of-Cinyradae race already to-be-dying-out and to-fail seeming
ἕνα δ' οὖν ἔφασαν περιεῖναι πένητα καὶ ἄδοξον ἄνθρωπον
one but then they-said to-survive poor and obscure a-man
ἐν κήπῳ τινὶ παρημελημένως διατρεφόμενον. ἐπὶ τοῦτον
in a-garden some neglectedly being-kept-alive to this-one
οἱ πεμφθέντες ἦκον, εὑρέθη δὲ πρασιαῖς ἐπαντλῶν· καὶ
those sent came he-was-found and garden-beds watering and
διεταράχθη τῶν στρατιωτῶν ἐπιλαμβανομένων αὐτοῦ
was-thrown-into-confusion the soldiers seizing him
καὶ βαδίζειν κελευόντων. ἀχθεὶς δὲ πρὸς Ἀλέξανδρον
and to-go bidding having-been-brought and to Alexander
ἐν εὐτελεῖ σινδόνι βασιλεὺς ἀνηγορεύθη καὶ πορφύραν
in a-cheap linen-cloth king he-was-proclaimed and purple
ἔλαβε, καὶ εἷς ἦν τῶν ἑταίρων προσαγορευομένων·
received and one he-was of-the companions called
ἐκαλεῖτο δ' Ἀβδαλώνυμος. οὕτως αἱ τύχαι ποιοῦσι
was-called and Abdalonymus so the fortunes make
βασιλεῖς, μεταμφιέζουσι, μεταγράφουσι ταχύ, ῥᾳδίως,
kings change-their-clothes change-their-names quickly easily
προσδεχομένους ἐλπίζοντας.
expecting hoping
Ἀλεξάνδρῳ δὲ τί παρ' ἀξίαν, τί ἀνιδρωτί, τί 9
to-Alexander but what against desert what without-sweat what
ἀναιμωτί, τί προῖκα, τί πονήσαντι τῶν μεγάλων; αἵματι
without-blood what for-free what having-toiled of-the great with-blood

κεκραμένους ποταμοὺς ἔπιε καὶ νεκροῖς γεγεφυρωμένους
mixed rivers he-drank and with-corpses bridged
διέβη, καὶ πόαν ἔφαγε διὰ λιμὸν ἣν πρώτην εἶδε, καὶ
he-crossed and grass ate through hunger which first he-saw and
βάθεσι χιόνων κατακεχωσμένα ἔθνη καὶ πόλεις ὑπὸ γῆν
in-depths of-snows buried nations and cities under ground
ἐνδεδυκυίας διώρυξε, καὶ θάλατταν μαχομένην ἔπλευσε, καὶ
sunk he-dug-out and a-sea fighting he-sailed and
θῖνας ἀνύδρους τὰς Γεδρωσίων καὶ Ἀραχωσίων ὁδεύων ἐν
dunes waterless the of-Gedrosians and of-Arachosians traveling in
θαλάσσῃ πρότερον ἢ ἐν γῇ φυτὸν εἶδεν. εἰ γὰρ ἦν ὡς
sea earlier than on land a-plant he-saw if for it-were as
πρὸς ἄνθρωπον ἀγαγεῖν παρρησίαν ὑπὲρ Ἀλεξάνδρου πρὸς
to a-human to-bring frankness on-behalf-of Alexander toward
τὴν Τύχην, οὐκ ἂν εἶπε ποῦ σὺ καὶ πότε ταῖς Ἀλεξάνδρου
— Fortune not — would-say where you and when to-the of-Alexander
πράξεσιν ὁδὸν ἔδωκας; ποίαν πέτραν ἀναιμωτὶ διὰ σὲ
deeds a-way did-you-give what rock without-blood through you
εἶλε; ποίαν πόλιν ἀφρούρητον αὐτῷ παρέδωκας ἢ ποίαν
did-he-take what city unguarded to-him did-you-hand-over or what
ἄοπλον φάλαγγα; τίς εὑρέθη βασιλεὺς ῥᾳθυμος ἢ στρατηγὸς
unarmed phalanx what was-found king indolent or general
ἀμελὴς ἢ κοιμώμενος πυλωρός; ἀλλ᾽ οὐδ᾽ εὔβατος ποταμὸς
careless or sleeping gatekeeper but not-even easily-crossed river
οὐδὲ χειμὼν μέτριος οὐδὲ θέρος ἄλυπον. ἄπιθι πρὸς Ἀντίοχον
nor winter moderate nor summer painless go-away to Antiochus
τὸν Σελεύκου, πρὸς Ἀρτοξέρξην τὸν Κύρου ἀδελφόν·
the son-of-Seleucus to Artaxerxes the of-Cyrus brother
ἄπελθε πρὸς Πτολεμαῖον τὸν Φιλάδελφον. ἐκείνους ζῶντες
go-off to Ptolemy the Philadelphus those living
οἱ πατέρες βασιλεῖς ἀνηγόρευσαν, ἐκεῖνοι μάχας ἀδακρύτους
the fathers kings proclaimed those battles tearless

ἐνίκων, ἐκεῖνοι πανηγυρίζοντες ἐν πομπαῖς καὶ θεάτροις
won those holding-festival in processions and theaters
διετέλεσαν, ἐκείνων ἕκαστος δι᾽ εὐτυχίαν βασιλεύων
spent-their-lives of-those each through good-fortune reigning
ἐγήρασεν. Ἀλεξάνδρου δ᾽ εἰ μηδὲν ἄλλο, τὸ σῶμ᾽ ἰδοῦ
grew-old of-Alexander but if nothing else the body behold
κατατετρωμένον ἄκρας κεφαλῆς ἄχρι ποδῶν διακέκοπται
wounded-all-over from-the-top of-head to feet it-has-been-cut
καὶ περιτέθλασται τυπτόμενον ὑπὸ τῶν πολεμίων
and bruised struck by the enemies

ἔγχεΐ᾽ τ᾽ ἄορί τε μεγάλοισί τε χερμαδίοισιν·
with-spear and with-sword and with-great and stones

ἐπὶ Γρανίκου ξίφει διακοπεὶς τὸ κράνος ἄχρι τῶν τριχῶν,
at Granicus by-a-sword cut-through the helmet to the hair
ἐν Γάζῃ βέλει πληγεὶς τὸν ὦμον, ἐν Μαρακάνδοις
at Gaza by-a-missile struck the shoulder at Maracanda
τοξεύματι τὴν κνήμην ὥστε τῆς κερκίδος τὸ ὀστέον
by-an-arrow the shin so-that of-the fibula the bone
ἀποκλασθὲν ὑπὸ τῆς πληγῆς ἐξαλέσθαι· περὶ τὴν Ὑρκανίαν
broken-off by the blow to-have-leapt-out about — Hyrcania
λίθῳ τὸν τράχηλον, ἐξ οὗ καὶ τὰς ὄψεις ἀμαυρωθεὶς
by-a-stone the neck from which also the sight dimmed
ἐφ᾽ ἡμέρας πολλὰς ἐν φόβῳ πηρώσεως ἐγένετο· πρὸς
for days many in fear of-blindness he-was among
Ἀσσακάνοις Ἰνδικῷ βέλει τὸ σφυρόν, ὅτε καὶ πρὸς τοὺς
Assacanians by-an-Indian missile the ankle when also to the
κόλακας εἶπεν ἐπιμειδιάσας “τουτὶ μὲν αἷμα, οὐκ
flatterers he-said smiling this indeed blood not

ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν·”
ichor such-as indeed — flows in-blessed gods

ἐν Ἰσσῷ ξίφει τὸν μηρόν, ὡς Χάρης φησίν, ὑπὸ
at Issus by-a-sword the thigh as Chares says by
Δαρείου τοῦ βασιλέως εἰς χεῖρας αὐτῷ συνδραμόντος·
Darius the king into hands with-him having-run-together
αὐτὸς δ’ Ἀλέξανδρος ἁπλῶς γράφων καὶ μετὰ πάσης
himself and Alexander simply writing and with all
ἀληθείας πρὸς Ἀντίπατρον “συνέβη δέ μοι” φησὶ “καὶ
truth to Antipater it-happened and to-me he-says also
αὐτῷ ἐγχειριδίῳ πληγῆναι τὸν μηρόν· ἀλλ’ οὐδὲν ἄτοπον
myself by-a-dagger to-be-struck the thigh but nothing strange
οὔτε παραχρῆμα οὔθ’ ὕστερον ἐκ τῆς πληγῆς ἀπήντησεν”
either immediately or later from the blow met-me
ἐν Μαλλοῖς τοξεύματι διπήχει διὰ τοῦ θώρακος
among Malli by-an-arrow two-cubits-long through the breastplate
εἰς τὸ στῆθος· ὑπελάσας ἔλαβε κατὰ τοῦ αὐχένος, ὡς
into the chest having-driven he-received on the neck as
Ἀριστόβουλος ἱστόρηκε. διαβὰς δὲ τὸν Τάναϊν ἐπὶ
Aristobulus has-recorded having-crossed and the Tanais against
τοὺς Σκύθας καὶ τρεψάμενος, ἐδίωξεν ἵππῳ πεντήκοντα
the Scythians and having-routed he-pursued on-horse fifty
καὶ ἑκατὸν σταδίους, ὑπὸ διαρροίας ἐνοχλούμενος.
and a-hundred stades by diarrhea being-troubled
10 “εὖγ’, ὦ Τύχη, τὸν Ἀλέξανδρον αὔξεις καὶ μέγαν ποιεῖς,
well-done O Fortune — Alexander you-increase and great you-make
διορύττουσα πανταχόθεν, ὑπερείπουσα, πᾶν μέρος ἀνοίγουσα
digging-through-him from-every-side undermining every part opening
τοῦ σώματος· οὐχ ὥσπερ ἡ Ἀθηνᾶ πρὸ τοῦ Μενελάου τὸ
of-the body not as — Athena before — Menelaus the

βέλος εἰς τὰ καρτερώτατα τῶν ὅπλων ὑπάγουσα, θώρακι
missile into the strongest of-the armor leading by-breastplate
καὶ μίτρᾳ καὶ ζωστῆρι τῆς πληγῆς τὸν τόνον ἀφεῖλε
and belt and girdle of-the blow the force took-away
θιγούσης τοῦ σώματος, ὅσον αἵματι πρόφασιν ῥυῆναι,
having-touched the body as-much-as for-blood an-excuse to-flow
ἀλλὰ γυμνὰ παρέχουσα τοῖς βέλεσι τὰ καίρια, καὶ δι᾽
but bare offering to-the missiles the vital-parts and through
ὀστέων ἐλαύνουσα τὰς πληγάς, καὶ περιτρέχουσα κύκλῳ τὸ
bones driving the blows and running-around in-a-circle the
σῶμα, καὶ πολιορκοῦσα τὰς ὄψεις, τὰς βάσεις, ἐμποδίζουσα
body and besieging the eyes the steps impeding
τὰς διώξεις, περισπῶσα τὰς νίκας, ἀνατρέπουσα τὰς
the pursuits diverting the victories overturning the
ἐλπίδας.” ἐμοὶ μὲν οὐδεὶς βαρυτέρᾳ δοκεῖ κεχρῆσθαι
hopes to-me indeed no-one harsher seems to-have-had
Τύχῃ τῶν βασιλέων, καίτοι πολλοῖς ἐνέπεσε σκληρὰ καὶ
Fortune of-the kings and-yet on-many fell harsh and
βάσκανος· ἀλλ᾽ ὡς σκηπτὸς ἀπέκοψε τοὺς ἄλλους καὶ
malignant but like a-thunderbolt cut-off the others and
διέφθειρε, πρὸς δ᾽ Ἀλέξανδρον αὐτῆς τὸ δυσμενὲς γέγονε
destroyed toward but Alexander her the hostility has-been
φιλόνεικον καὶ δύσερι καὶ δυσεκβίαστον, ὥσπερ πρὸς τὸν
contentious and quarrelsome and hard-to-overcome as toward —
Ἡρακλέα. ποίους γὰρ Τυφῶνας ἢ πελωρίους γίγαντας οὐκ
Heracles what-sort for Typhons or monstrous giants not
ἀνέστησεν ἀνταγωνιστὰς ἐπ᾽ αὐτόν; ἢ τίνας οὐκ ὠχύρωσε
did-she-raise-up as-antagonists against him or whom not did-she-fortify
τῶν πολεμίων πλήθεσιν ὅπλων ἢ βάθεσι ποταμῶν ἢ
of-the enemies with-multitudes of-arms or with-depths of-rivers or
τραχύτησι κρημνῶν ἢ θηρίων ἀλκαῖς ἀλλοφύλων; εἰ δὲ μὴ
with-ruggednesses of-cliffs or with-beasts’ strengths of-foreign-lands if but not

μέγ' ἦν τὸ Ἀλεξάνδρου φρόνημα μηδ' ἀπ' ἀρετῆς ὁρμώμενον
great were the of-Alexander spirit nor from virtue setting-out
μεγάλης ἐξανέφερε καὶ διηρείδετο πρὸς τὴν Τύχην, οὐκ ἂν
great rose-up and pressed against — Fortune not —
ἔκαμε καὶ ἀπηγόρευσε παραταττόμενος ἐξοπλιζόμενος
would-have-wearied and given-up drawing-up arming
πολιορκῶν διώκων, ἐν ἀποστάσεσι μυρίαις, ἀποτροπαῖς
besieging pursuing among revolts countless defections
σκιρτήσεσιν ἐθνῶν, βασιλέων ἀφηνιασμοῖς, Βάκτρα
leapings of-nations of-kings rebellions Bactra
Μαράκανδα Σογδιανούς, ἐν ἔθνεσιν ἀπίστοις καὶ ἐπιβούλοις
Maracanda Sogdians among nations faithless and treacherous
ὕδραν τέμνων ἀεί τισι πολέμοις ἐπιβλαστάνουσαν;
a-hydra cutting always with-some wars sprouting-again
11 ἄτοπόν τι δόξω λέγειν, ἐρῶ δ' ἀληθές· παρὰ μικρὸν
strange something I-shall-seem to-say I-will-say but true by a-little
διὰ τὴν Τύχην Ἀλέξανδρος ἀπώλεσε τὸ δοκεῖν Ἄμμωνος
through — Fortune Alexander lost the to-seem of-Ammon
εἶναι. τίς γὰρ ἂν ἐκ θεῶν γεγονὼς ἐπισφαλεῖς οὕτω καὶ
to-be who for — from gods born perilous so and
πολυπόνους καὶ τλήμονας ἐξεμόχθησεν ἄθλους πλὴν ὁ Διὸς
toilsome and wretched toiled-through labors except — of-Zeus
Ἡρακλῆς; ἀλλ' ἐκείνῳ μὲν εἷς ἀνὴρ ὑβριστὴς ἐπέταττε
Heracles but for-him indeed one man insolent ordered
λέοντας αἱρεῖν καὶ κάπρους διώκειν καὶ σοβεῖν ὄρνιθας· ἵνα
lions to-take and boars to-chase and to-scare birds so-that
μὴ σχολάζῃ τοῖς μείζοσι περιιών, Ἀνταίους κολάζειν
not he-might-have-leisure for-the greater going-about Antaeuses to-punish
καὶ Βουσίριδας παύειν μιαιφονοῦντας· Ἀλεξάνδρῳ δ'
and Busirises to-stop murdering to-Alexander but
ἐπέταττε μὲν ἡ ἀρετὴ τὸν βασιλικὸν καὶ θεῖον ἆθλον, οὗ
ordered indeed the virtue the kingly and divine labor of-which

τέλος ἦν οὐ χρυσὸς ὑπὸ μυρίων καμήλων περικομιζόμενος
the-end was not gold by ten-thousand camels carried-about
οὐδὲ τρυφαὶ Μηδικαὶ καὶ τράπεζαι καὶ γυναῖκες οὐδὲ
nor luxuries Median and tables and women nor
Χαλυβώνιος οἶνος οὐδ' Ὑρκανικοὶ ἰχθύες, ἀλλ' ἑνὶ κόσμῳ
Chalybonian wine nor Hyrcanian fishes but by-one order
κοσμήσαντα πάντας ἀνθρώπους μιᾶς ὑπηκόους ἡγεμονίας
having-ordered all men of-one subject rule
καὶ μιᾶς ἐθάδας διαίτης καταστῆσαι. τοῦτον ἐκ παιδὸς
and of-one accustomed way-of-life to-establish this from a-boy
ἔμφυτον ἔχων ἔρωτα συντρεφόμενον καὶ συναυξανόμενον,
inborn having desire growing-up-with-him and growing-with-him
ὡς ἀφίκοντο πρέσβεις παρὰ τοῦ Περσῶν βασιλέως πρὸς
when came envoys from the of-Persians king to
Φίλιππον, ὁ δ' οὐκ ἔνδημος ἦν, φιλοφρονούμενος καὶ
Philip he and not at-home was entertaining and
ξενίζων αὐτοὺς Ἀλέξανδρος οὐδὲν ἠρώτα παιδικόν, οἷον
hosting them Alexander nothing asked childish such-as
ἄλλοι, περὶ τῆς χρυσῆς ἀναδενδράδος ἢ τῶν κρεμαστῶν
others about the golden vine or the hanging
κήπων ἢ πῶς ὁ βασιλεὺς κεκόσμηται, ἀλλ' ὅλος ἐν τοῖς
gardens or how the king is-dressed but wholly in the
κυριωτάτοις ἦν τῆς ἡγεμονίας, διαπυνθανόμενος πόση
most-important-things he-was of-the empire inquiring how-great
δύναμις ἡ Περσῶν, ποῦ τεταγμένος βασιλεὺς ἐν ταῖς
power the of-Persians where stationed king in the
μάχαις διαγωνίζεται, καθάπερ Ὀδυσσεὺς ἐκεῖνος

ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήια, ποῦ δέ οἱ ἵπποι·
where and his armor lies warlike where and his horses

τίνες ὁδοὶ βραχύταται, τοῖς ἄνω πορευομένοις ἀπὸ
which roads shortest for-those up going from
θαλάττης· ὥστε τοὺς ξένους ἐκπεπλῆχθαι καὶ λέγειν ὡς
the-sea so-that the strangers to-be-amazed and to-say that
"ὁ παῖς οὗτος βασιλεὺς μέγας, ὁ δ' ἡμέτερος πλούσιος."
the boy this a-king great the and ours rich
ἐπεὶ δὲ Φιλίππου τελευτήσαντος ὥρμητο διαβαλεῖν καὶ
when and Philip having-died he-was-eager to-cross and
ταῖς ἐλπίσιν ἤδη καὶ ταῖς παρασκευαῖς ἐμπεφυκὼς
with-the hopes already and with-the preparations being-rooted
ἔσπευδεν ἅψασθαι τῆς Ἀσίας, ἐνίστατο δ' ἡ Τύχη καὶ
he-hastened to-lay-hold-of — Asia stood-in-the-way but — Fortune and
ἀπέστρεφε καὶ ἀνθεῖλκεν ὀπίσω καὶ μυρίας περιέβαλλεν
turned-him-back and dragged-back behind and countless threw-around
ἀσχολίας καὶ διατριβὰς ἐπιλαμβανομένη· πρῶτον αὐτῷ τὰ
occupations and delays laying-hold first for-him the
βαρβαρικὰ τῶν προσοίκων διετάραξεν, Ἰλλυρικοὺς καὶ
barbarian-affairs of-the neighbors she-threw-into-confusion Illyrian and
Τριβαλλικοὺς μηχανωμένη πολέμους. οἷς μέχρι Σκυθίας
Triballian contriving wars by-which as-far-as Scythia
τῆς παρ' Ἴστρον ἀποσπασθεὶς ἀπὸ τῶν ἄνω πράξεων
the by Ister having-been-drawn-away from the inland deeds
καὶ περιδραμὼν καὶ κατεργασάμενος πάντα κινδύνοις καὶ
and having-run-around and having-subdued all with-dangers and
ἀγῶσι μεγάλοις, αὖθις ὥρμητο καὶ ἔσπευδε πρὸς τὴν
contests great again he-was-eager and hastened toward the
διάβασιν πάλιν· ἡ δὲ πάλιν αὐτῷ τὰς Θήβας ἐνέσεισε καὶ
crossing again she but again for-him — Thebes stirred-up and
πόλεμον Ἑλληνικὸν ἐμποδὼν κατέβαλε, καὶ δεινὴν πρὸς
war Greek in-the-way threw-down and terrible against
ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς διὰ φόνου καὶ σιδήρου
men kindred and related through slaughter and iron

καὶ πυρὸς ἀνάγκην ἀμύνης, ἀτερπέστατον τέλος ἔχουσαν.
and fire a-necessity of-defense most-joyless end having
ἐκ τούτου διέβαινεν, ὡς μὲν Φύλαρχός φησιν, ἡμερῶν
from this he-crossed as indeed Phylarchus says of-days
τριάκοντ' ἔχων ἐφόδιον, ὡς δ' Ἀριστόβουλος, ἑβδομήκοντα
thirty having provision as but Aristobulus seventy
τάλαντα· τῶν δ' οἴκοι κτημάτων καὶ προσόδων βασιλικῶν
talents of-the and at-home possessions and revenues royal
διένειμε τὰς πλείστας τοῖς ἑταίροις, μόνος δὲ Περδίκκας
he-distributed the most to-the companions alone and Perdiccas
οὐδὲν ἔλαβε διδόντος, ἀλλ' ἠρώτησε "σαυτῷ δὲ τί
nothing took offering but asked for-yourself and what
καταλείπεις Ἀλέξανδρε;" τοῦ δ' εἰπόντος ὅτι "τὰς
do-you-leave Alexander he and having-said that the
ἐλπίδας," "οὐκοῦν" ἔφη καὶ "ἡμεῖς τούτων μεθέξομεν· οὐ
hopes then he-said also we in-these will-share not
γὰρ δίκαιον τὰ σὰ λαμβάνειν ἀλλὰ τὰ Δαρείου περιμένειν."
for just the your to-take but the of-Darius to-await
τίνες οὖν ἦσαν αἱ ἐλπίδες, ἐφ' αἷς διέβαινεν εἰς Ἀσίαν 12
what then were the hopes on which he-crossed into Asia
Ἀλέξανδρος; οὐ τείχεσι πόλεων μυριάνδρων ἐκμετρουμένη
Alexander not by-walls of-cities ten-thousand-manned measured
δύναμις οὐδὲ στόλοι δι' ὀρῶν πλέοντες, οὐδὲ μάστιγες
power nor fleets through mountains sailing nor scourges
οὐδὲ πέδαι, μανικὰ καὶ βάρβαρα κολαστήρια θαλάσσης,
nor fetters mad and barbarian punishments of-the-sea
ἀλλὰ τὰ μὲν ἐκτὸς ἐν ὀλίγοις ὅπλοις φιλοτιμία πολλὴ
but the indeed outward in few arms ambition much
καὶ ζῆλος ἡλικίας παραλλήλου καὶ ἄμιλλα περὶ δόξης
and emulation of-age equal and rivalry for glory
καὶ ἀρετῆς ἑταίρων· αὐτὸς δ' εἶχεν ἐν ἑαυτῷ τὰς
and virtue of-companions himself and had in himself the

μεγάλας ἐλπίδας, εὐσέβειαν περὶ θεοὺς πίστιν πρὸς φίλους,
great hopes piety toward gods faith toward friends
εὐτέλειαν ἐγκράτειαν εὐποιίαν, ἀφοβίαν πρὸς θάνατον
frugality self-control beneficence fearlessness toward death
εὐψυχίαν, φιλανθρωπίαν ὁμιλίαν εὐάρμοστον, ἀψευδὲς
good-courage humanity converse well-attuned truthful
ἦθος εὐστάθειαν ἐν βουλαῖς τάχος ἐν πράξεσιν, ἔρωτα
character steadfastness in counsels speed in actions love
δόξης προαίρεσιν ἐν τῷ καλῷ τελεσιουργόν. Ὅμηρος μὲν
of-glory purpose in the noble accomplishing Homer indeed
γὰρ οὐ πρεπόντως οὐδὲ πιθανῶς τὸ Ἀγαμέμνονος κάλλος
for not fittingly nor persuasively the of-Agamemnon beauty
ἐκ τριῶν συνήρμοσεν εἰκόνων ὁμοιώσας,
from three put-together likenesses having-likened

ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ,
eyes and head like to-Zeus delighting-in-thunder
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.
to-Ares and waist chest and to-Poseidon

τὴν δ' Ἀλεξάνδρου φύσιν, εἴπερ ἐκ πολλῶν συνήρμοσε
the but of-Alexander nature if-indeed from many fitted-together
καὶ συνέθηκεν ἀρετῶν ὁ γεννήσας θεός, ἆρ' οὐκ ἂν
and compounded of-virtues the having-begotten god then not —
εἴποιμεν ἔχειν φρόνημα μὲν τὸ Κύρου, σωφροσύνην δὲ
might-we-say to-have spirit indeed the of-Cyrus self-control and
τὴν Ἀγησιλάου, σύνεσιν δὲ τὴν Θεμιστοκλέους, ἐμπειρίαν
the of-Agesilaus understanding and the of-Themistocles experience
δὲ τὴν Φιλίππου, τόλμαν δὲ τὴν Βρασίδου, δεινότητα δὲ
and the of-Philip daring and the of-Brasidas cleverness and
καὶ πολιτείαν τὴν Περικλέους; τῶν δ' ἔτι παλαιοτέρων
and statesmanship the of-Pericles of-the and still more-ancient

σωφρονέστερος μὲν Ἀγαμέμνονος· ὁ μὲν γὰρ προέκρινε
more-self-controlled indeed than-Agamemnon he indeed for preferred
τῆς γαμετῆς τὴν αἰχμάλωτον, ὁ δὲ καὶ πρὶν ἢ
to-the wedded-wife the captive he and even before than
γῆμαι τῶν ἁλισκομένων ἀπείχετο. μεγαλοψυχότερος δ'
to-marry from-the captured-women held-off greater-souled and
Ἀχιλλέως· ὁ μὲν γὰρ χρημάτων ὀλίγων τὸν Ἕκτορος
than-Achilles he indeed for for-money little the of-Hector
νεκρὸν ἀπελύτρωσεν, ὁ δὲ πολλοῖς χρήμασι Δαρεῖον ἔθαψε·
corpse released he and with-much money Darius buried
καὶ ὁ μὲν παρὰ τῶν φίλων δῶρα καὶ μισθὸν ἀντὶ τῆς
and he indeed from the friends gifts and pay instead-of the
ὀργῆς διαλλαγεὶς ἔλαβεν, ὁ δὲ τοὺς πολεμίους κρατῶν
wrath having-been-reconciled took he and the enemies conquering
ἐπλούτιζεν. εὐσεβέστερος δὲ Διομήδους· ὁ μὲν γὰρ θεοῖς
enriched more-pious and than-Diomedes he indeed for with-gods
μάχεσθαι ἦν ἕτοιμος, ὁ δὲ πάντα διὰ τοὺς θεοὺς ἐνόμιζε
to-fight was ready he and all-things through the gods thought
κατορθοῦν. ποθεινότερος δὲ τοῖς προσήκουσιν Ὀδυσσέως·
to-achieve more-missed and by-the kin than-Odysseus
ἐκείνου μὲν γὰρ ἡ τεκοῦσα διὰ λύπην ἀπέθανε,
of-that-one indeed for the having-borne-him through grief died
τούτῳ δ' ἡ τοῦ πολεμίου μήτηρ εὐνοίας συναπέθανε.
to-this-one but the of-the enemy mother from-goodwill died-with-him
τὸ δ' ὅλον, εἰ μὲν καὶ Σόλων διὰ Τύχην ἐπολιτεύσατο 13
the but whole if indeed also Solon through Fortune governed
καὶ Μιλτιάδης διὰ Τύχην ἐστρατήγησε καὶ Ἀριστείδης
and Miltiades through Fortune was-general and Aristides
ἀπὸ Τύχης ἦν δίκαιος, οὐδὲν ἄρα τῆς Ἀρετῆς ἔργον
from Fortune was just nothing then — of-Virtue work
ἐστίν, ἀλλ' ὄνομα τοῦτο καὶ λόγος ἔχων δόξαν ἄλλως
is but a-name this and a-word having glory idly

διέξεισι τοῦ βίου, πλαττόμενος ὑπὸ τῶν σοφιστῶν καὶ
passes-through the life fashioned by the sophists and
τῶν νομοθετῶν. εἰ δὲ τούτων καὶ τῶν ὁμοίων ἀνδρῶν
the lawgivers if but of-these and the like men
ἕκαστος πένης μὲν ἢ πλούσιος ἢ ἀσθενὴς ἢ ἰσχυρὸς
each poor indeed or rich or weak or strong
ἢ ἄμορφος ἢ καλὸς ἢ εὔγηρως ἢ ὠκύμορος διὰ
or ugly or handsome or of-a-happy-old-age or short-lived through
τύχην γέγονε, μέγαν δὲ στρατηγὸν καὶ μέγαν νομοθέτην
fortune has-become a-great but general and great lawgiver
καὶ μέγαν ἐν ἀρχαῖς καὶ πολιτείαις ἕκαστος ἑαυτὸν
and great in offices and polities each himself
ἀρετῇ καὶ λόγῳ παρέσχηκε, φέρε θεῶ τὸν Ἀλέξανδρον
by-virtue and reason has-provided come behold — Alexander
ἅπασι παραβάλλων. Σόλων χρεῶν ἀποκοπὴν ἐν Ἀθήναις
with-all comparing Solon of-debts a-cancellation in Athens
ἐποίησε, σεισάχθειαν προσαγορεύσας· Ἀλέξανδρος δὲ
made shaking-off-of-burdens having-called-it Alexander but
τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς
the debts to-the lenders on-behalf-of the owing himself
ἐξέτισε. Περικλῆς φορολογήσας τοὺς Ἕλληνας ἐκ τῶν
paid Pericles having-taxed the Greeks from the
χρημάτων ἐκόσμησεν ἱεροῖς τὴν ἀκρόπολιν· Ἀλέξανδρος
money adorned with-temples the acropolis Alexander
δὲ τὰ τῶν βαρβάρων χρήματα λαβὼν ἔπεμψεν εἰς
but the of-the barbarians money having-taken sent into
τὴν Ἑλλάδα, ναοὺς τοῖς θεοῖς ἀπὸ μυρίων ταλάντων
— Greece temples for-the gods from ten-thousand talents
οἰκοδομῆσαι κελεύσας. Βρασίδαν ἐν τῇ Ἑλλάδι περιβόητον
to-build having-ordered Brasidas in — Greece famous
ἐποίησε τὸ πρὸς Μεθώνην διαδραμεῖν τὸ στρατόπεδον τῶν
made the at Methone to-run-through the camp of-the

πολεμίων βαλλόμενον παρὰ τὴν θάλατταν· Ἀλεξάνδρου
enemies being-pelted along the sea of-Alexander
δ' ἐν Ὀξυδράκαις τὸ δεινὸν ἐκεῖνο πήδημα καὶ ἄπιστον
but among Oxydracae the terrible that leap and incredible
ἀκούουσι καὶ θεωμένοις φοβερόν, ἐκ τειχῶν ἀφέντος
to-those-hearing and to-those-seeing fearful from walls having-flung
ἑαυτὸν εἰς τοὺς πολεμίους δόρασι καὶ βέλεσι καὶ ξίφεσι
himself into the enemies with-spears and missiles and swords
γυμνοῖς ἐκδεχομένους, τίνι ἄν τις εἰκάσειεν ἢ πυρὶ
naked receiving-him to-what — anyone could-compare-it than to-fire
κεραυνίῳ ῥαγέντι καὶ φερομένῳ μετὰ πνεύματος, οἷον
of-lightning having-burst and borne with wind as-if
ἐπὶ γῆν κατέσκηψε "φάσμα Φοίβου φλογοειδέσιν ὅπλοις"
on earth had-darted an-apparition of-Phoebus in-flaming arms
περιλαμπόμενον; οἱ δὲ τὸ πρῶτον ἐκπλαγέντες
shining-round they and the first having-been-struck-with-terror
ἅμα φρίκῃ διέτρεσαν καὶ ἀνεχώρησαν· εἶθ' ὡς ἑώρων
together-with shuddering fled and withdrew then when they-saw
ἄνθρωπον ἕνα πολλοῖς ἐπιφερόμενον, ἀντέστησαν. ἐνταῦθ'
a-man one on-many rushing they-stood-against there
ἄρ' ἡ Τύχη μεγάλα καὶ λαμπρὰ διέφηνεν ἔργα τῆς πρὸς
then — Fortune great and splendid displayed works of-the toward
Ἀλέξανδρον εὐμενείας, ὅτ' αὐτὸν μὲν εἰς χωρίον ἄσημον
Alexander goodwill when him indeed into a-place obscure
καὶ βάρβαρον ἐμβαλοῦσα κατέκλεισε καὶ περιετείχισε,
and barbarian having-thrown she-shut-in and walled-round
τοὺς δ' ὑπὸ σπουδῆς ἐπιβοηθοῦντας ἔξωθεν καὶ τῶν
those and with zeal coming-to-help from-outside and the
τειχῶν ἐφιεμένους, κλάσασα καὶ συντρίψασα τὰς κλίμακας,
walls aiming-at having-broken and having-smashed the ladders
ὑπεσκέλισε καὶ κατεκρήμνισε. τριῶν δ' οἵπερ ἔφθησαν μόνοι
she-tripped and threw-down of-three and who were-first alone

τοῦ τείχους λαβέσθαι καὶ καθέντες ἑαυτοὺς περιστῆναι
the wall to-take and having-let-down themselves to-stand-around
τῷ βασιλεῖ, τὸν μὲν εὐθὺς ἀνήρπασε καὶ προανεῖλεν,
the king the-one indeed at-once she-snatched-away and killed-first
ὁ δὲ τοξεύμασι πολλοῖς διαπεπαρμένος, ὅσον ὁρᾶν
the-other and with-arrows many pierced-through as-much-as to-see
καὶ συναισθάνεσθαι μόνον ἀπεῖχε τοῦ τεθνάναι· κεναὶ
and to-perceive only was-distant from-the being-dead empty
δ' ἔξωθεν προσδρομαὶ καὶ ἀλαλαγμοὶ Μακεδόνων, οὐ
and from-outside onrushes and war-cries of-Macedonians not
μηχανῆς τινος οὐκ ὀργάνων παρόντων, ἀλλ' ὑπὸ σπουδῆς
engine any not instruments being-present but from zeal
ξίφεσι τυπτόντων τὰ τείχη καὶ χερσὶ γυμναῖς περιρρῆξαι
with-swords striking the walls and with-hands bare to-break-around
καὶ μονονοὺ διαφαγεῖν βιαζομένων. ὁ δ' εὐτυχὴς βασιλεὺς
and all-but to-eat-through forcing the but fortunate king
καὶ ὑπὸ τῆς Τύχης φυλαττόμενος ἀεὶ καὶ δορυφορούμενος,
and by — Fortune guarded always and attended-by-guards
ὥσπερ θηρίον ἄρκυσιν ἐνσχεθείς, ἔρημος καὶ ἀβοήθητος,
as a-beast in-nets caught alone and helpless
οὐχ ὑπὲρ Σούσων οὐδὲ Βαβυλῶνος οὐδὲ τοῦ Βάκτρα
not for Susa nor Babylon nor the Bactra
λαβεῖν οὐδὲ τοῦ μεγάλου Πώρου κρατῆσαι· τοῖς γὰρ
to-take nor the great Porus to-conquer in-the for
ἐνδόξοις καὶ μεγάλοις ἀγῶσι, κἂν δυστυχῶνται, τὸ γοῦν
glorious and great contests even-if they-fail the at-least
αἰσχρὸν οὐ πρόσεστιν. ἀλλ' οὕτω δύσεριs ἦν καὶ βάσκανος
shameful not is-attached but so quarrelsome was and malignant
ἡ Τύχη καὶ φιλοβάρβαρος καὶ μισαλέξανδρος, ὥστε μὴ
— Fortune and barbarian-loving and Alexander-hating that not
τὸ σῶμα μόνον αὐτοῦ μηδὲ τὸν βίον, ἀλλὰ καὶ τὴν δόξαν
the body only his nor the life but also the glory

ἀνελεῖν ὅσον ἐφ᾽ ἑαυτῇ καὶ διαφθεῖραι τὴν εὔκλειαν.
to-destroy as-far-as in her-power and to-ruin the good-fame
οὐ γὰρ παρ᾽ Εὐφράτην Ἀλέξανδρον ἢ Ὑδάσπην πεσόντα
not for by Euphrates Alexander or Hydaspes having-fallen
κεῖσθαι δεινὸν ἦν, οὐδ᾽ ἀγεννὲς ἐν χερσὶ Δαρείῳ γενόμενον
to-lie terrible was nor ignoble at hands with-Darius having-come
καὶ ἵπποις καὶ ξίφεσι καὶ κοπίσι Περσῶν ἀμυνομένων
and by-horses and by-swords and by-cleavers of-Persians defending
ὑπὲρ τοῦ βασιλέως ἀποθανεῖν· οὐδὲ τῶν Βαβυλῶνος
on-behalf-of the king to-die nor the of-Babylon
ἐπιβαίνοντα τειχῶν σφαλῆναι καὶ πεσεῖν ἀπ᾽ ἐλπίδος
mounting walls to-be-tripped and to-fall from hope
μεγάλης. οὕτω Πελοπίδας καὶ Ἐπαμεινώνδας ἀρετῆς ὁ
great thus Pelopidas and Epaminondas of-virtue the
τούτων θάνατος ἦν, οὐ δυστυχίας ἐπὶ τηλικούτοις. τῆς
their death was not of-misfortune on so-great-things of-the
δὲ νῦν ἐξεταζομένης Τύχης οἷον τὸ ἔργον; ἐν ἐσχατιᾷ
but now being-examined Fortune what-a the deed in a-remote-spot
βαρβάρου παραποταμίας καὶ τείχεσιν ἀδόξου πολίχνης
barbarian of-a-riverside and with-walls of-an-inglorious town
περιβαλούσης καὶ ἀποκρυψάσης τὸν τῆς οἰκουμένης
having-surrounded and having-hidden the of-the inhabited-world
βασιλέα καὶ κύριον, ὅπλοις ἀτίμοις καὶ σκεύεσι τοῖς
king and lord by-weapons dishonorable and implements the
παρατυχοῦσι τυπτόμενον καὶ βαλλόμενον ἀπολέσθαι. καὶ
chance-met struck and pelted to-perish and
γὰρ κοπίδι τὴν κεφαλὴν διὰ τοῦ κράνους ἐπλήγη, καὶ
for by-a-cleaver the head through the helmet he-was-struck and
βέλει τις ἀπὸ τόξου τὸν θώρακα διέκοψεν, οὗ τοῖς
with-a-missile one from a-bow the breastplate cut-through which in-the
περὶ τὸν μαστὸν ἐνερεισθέντος ὀστέοις καὶ καταπαγέντος
about the breast fixed bones and stuck

ὁ μὲν καυλὸς ἐξεῖχε βαρύνων, τῆς δ' ἀκίδος ὁ σίδηρος
the indeed shaft projected weighing-down of-the and point the iron
τεσσάρων δακτύλων εὖρος ἔσχε καὶ πέντε μῆκος. ἔσχατον
of-four fingers breadth had and of-five length utmost
δὲ τῶν δεινῶν, ὁ μὲν ἠμύνετο τοὺς κατὰ στόμα καὶ
and of-the terrors he indeed was-warding-off those in front and
τὸν βαλόντα καὶ πελάσαι τολμήσαντα μετὰ ξίφους αὐτὸς
the having-shot and to-approach having-dared with a-sword himself
τῷ ἐγχειριδίῳ φθάσας κατέβαλε καὶ ἀπέκτεινεν.
with-the dagger having-anticipated struck-down and killed
ἐν τούτῳ δέ τις δραμὼν ἐκ μυλῶνος ὑπέρῳ κατὰ
in this and someone having-run from a-mill with-a-pestle on
τοῦ αὐχένος ὄπισθεν πληγὴν κατήνεγκεν, ἣ συνέχεε τὴν
the neck from-behind a-blow brought-down which confounded the
αἴσθησιν αὐτοῦ σκοτωθέντος· ἡ δ' Ἀρετὴ παρῆν, θάρσος
senses his having-been-darkened — but Virtue was-present daring
μὲν αὐτῷ ῥώμην δὲ καὶ σπουδὴν τοῖς περὶ αὐτὸν
indeed to-him strength and also zeal to-those about him
ἐμποιοῦσα. Λιμναῖοι γὰρ καὶ Πτολεμαῖοι καὶ Λεοννᾶτοι,
producing Limnaeuses for and Ptolemies and Leonnatuses
καὶ ὅσοι τὸ τεῖχος ὑπερβάντες ἢ ῥήξαντες ἔστησαν
and as-many-as the wall having-crossed or having-broken stood
πρὸ αὐτοῦ, τεῖχος ἀρετῆς ἦσαν, εὐνοίᾳ καὶ φιλίᾳ τοῦ
before him a-wall of-virtue they-were with-goodwill and friendship of-the
βασιλέως τὰ σώματα καὶ τὰ πρόσωπα καὶ τὰς ψυχὰς
king the bodies and the faces and the souls
προβαλλόμενοι. οὐ γὰρ διὰ Τύχην ἀγαθῶν βασιλέων
putting-forward not for through Fortune of-good kings
ἑταῖροι προαποθνήσκουσιν ἑκουσίως καὶ προκινδυνεύουσιν,
companions die-first willingly and run-risks-first
ἀλλ' ἔρωτι τῆς Ἀρετῆς ὥσπερ ὑπὸ φίλτρων μέλιτται τῷ
but by-love — of-Virtue as by charms bees to-the

ἄρχοντι προσέρχονται καὶ προσπεφύκασι. τίς οὖν οὐκ ἂν
ruler come and cling who then not —
εἴποι τότε παρὼν ἀκίνδυνος θεατής, ὅτι Τύχης μέγαν
would-say then being-present a-safe spectator that of-Fortune a-great
ἀγῶνα καὶ Ἀρετῆς θεᾶται, καὶ τὸ μὲν βάρβαρον παρ᾽
contest and of-Virtue he-watches and the indeed barbarian against
ἀξίαν ἐπικρατεῖ διὰ Τύχην, τὸ δ᾽ Ἑλληνικὸν ἀντέχει
desert prevails through Fortune the but Greek holds-out
παρὰ δύναμιν δι᾽ Ἀρετήν; κἂν μὲν ἐκεῖνοι περιγένωνται,
beyond power through Virtue and-if indeed they prevail
Τύχης καὶ δαίμονος φθονεροῦ καὶ νεμέσεως ἔσται τὸ ἔργον
of-Fortune and of-a-divinity envious and of-retribution will-be the deed
ἂν δ᾽ οὗτοι κρατήσωσιν, Ἀρετὴ καὶ τόλμα καὶ φιλία καὶ
if but these conquer Virtue and daring and friendship and
πίστις ἐξοίσεται τὸ νικητήριον; ταῦτα γὰρ μόνα παρῆν
faith will-carry-off the prize these-things for alone were-present
Ἀλεξάνδρῳ, τῆς δ᾽ ἄλλης δυνάμεως καὶ παρασκευῆς καὶ
to-Alexander of-the but other force and equipment and
στόλων καὶ ἵππων καὶ στρατοπέδων μέσον ἔθηκεν ἡ
fleets and horses and camps in-between set —
Τύχη τὸ τεῖχος. ἐτρέψαντο μὲν οὖν τοὺς βαρβάρους
Fortune the wall routed indeed then the barbarians
οἱ Μακεδόνες, καὶ πεσοῦσιν αὐτοῖς ἐπικατέσκαψαν τὴν
the Macedonians and having-fallen on-them razed the
πόλιν. Ἀλεξάνδρῳ δ᾽ οὐδὲν ἦν ὄφελος· ἥρπαστο γὰρ
city to-Alexander but no was use he-had-been-carried-off for
μετὰ τοῦ βέλους, καὶ τὸν κάλαμον ἐν τοῖς σπλάγχνοις
with the missile and the reed in the vitals
εἶχε, καὶ δεσμὸς ἦν αὐτῷ καὶ ἧλος τὸ τόξευμα τοῦ
he-had and a-bond was to-him and a-nail the arrow of-the
θώρακος πρὸς τὸ σῶμα. καὶ σπάσαι μὲν ὥσπερ ἐκ
breastplate to the body and to-pull-out indeed as from

ῥίζης τοῦ τραύματος βιαζομένοις οὐχ ὑπήκουεν ὁ σίδηρος,
root of-the wound those-forcing not obeyed the iron
ἕδραν ἔχων τὰ πρὸ τῆς καρδίας στερεὰ τοῦ στήθους·
seat having the in-front-of the heart solid-parts of-the chest
ἐκπρῖσαι δὲ τοῦ δόνακος οὐκ ἐθάρρουν τὸ προῦχον,
to-saw-off and of-the shaft not they-dared the projecting-part
ἀλλ' ἐφοβοῦντο, μήπως σπαραγμῷ σχιζόμενον τὸ ὀστέον
but they-feared lest-somehow by-the-tearing splitting the bone
ὑπερβολὰς ἀλγηδόνων παράσχῃ καὶ ῥῆξις αἵματος ἐκ
excesses of-pains might-cause and bursting of-blood from
βάθους γένηται. πολλὴν δ' ἀπορίαν καὶ διατριβὴν ὁρῶν
depth might-occur much but perplexity and delay seeing
αὐτὸς ἐπεχείρησεν ἐν χρῷ τοῦ θώρακος ἀποτέμνειν τῷ
himself attempted at the-skin of-the breastplate to-cut-off with-the
ξιφιδίῳ τὸν οἰστόν· ἠτόνει δ' ἡ χεὶρ καὶ βάρος εἶχε
dagger the arrow was-weak but the hand and weight had
ναρκῶδες ὑπὸ φλεγμονῆς τοῦ τραύματος. ἐκέλευεν οὖν
numbing from inflammation of-the wound he-ordered then
ἅπτεσθαι καὶ μὴ δεδιέναι τοὺς ἀτρώτους θαρρύνων· καὶ
to-take-hold and not to-fear the unwounded encouraging and
τοῖς μὲν ἐλοιδορεῖτο κλαίουσι καὶ περιπαθοῦσι, τοὺς
the-ones indeed he-reviled weeping and grieving the-others
δὲ λιποτάκτας ἀπεκάλει, μὴ τολμῶντας αὐτῷ βοηθεῖν·
and deserters he-called not daring him to-help
ἐβόα δὲ πρὸς τοὺς ἑταίρους "μηδεὶς ἔστω μηδ' ὑπὲρ
he-shouted and to the companions let-no-one be even for
ἐμοῦ δειλός· ἀπιστοῦμαι μὴ φοβεῖσθαι θάνατον, εἰ τὸν
me cowardly I-am-disbelieved not to-fear death if the
ἐμὸν φοβεῖσθ' ὑμεῖς."
my you-fear you

PLUTARCH

ΠΕΡΙ ΤΗΣ ΡΩΜΑΙΩΝ ΤΥΧΗΣ

On the Fortune of the Romans

Virtue and Fortune dispute which of them made Rome's empire. Plutarch thinks they joined forces, as fire and earth made the world, and imagines the two approaching: Virtue with the Fabricii, Camilli, and Scipios, Marius angry at Fortune, Scaevola showing his burned hand, and Horatius Cocles his lamed thigh; Fortune, leaving Persia, Assyria, Macedonia, and Carthage, lays down her wings by the Tiber to stay. With her come Numa, Priscus, Aemilius Paulus, Metellus, Scaurus, and Sulla, who called himself Fortune's son.

αἱ πολλοὺς πολλάκις ἠγωνισμέναι καὶ μεγάλους ἀγῶνας 1
the many often having-contended and great contests
Ἀρετὴ καὶ Τύχη πρὸς ἀλλήλας μέγιστον ἀγωνίζονται τὸν
Virtue and Fortune against one-another the-greatest contend the
παρόντα, περὶ τῆς Ῥωμαίων ἡγεμονίας διαδικαζόμεναι
present about the of-Romans supremacy disputing
ποτέρας γέγονεν ἔργον καὶ ποτέρα τὴν τηλικαύτην
of-which-of-the-two it-has-been the-work and which the so-great
δύναμιν γεγέννηκεν. οὐ γὰρ μικρὸν ἔσται τῇ περιγενομένῃ
power has-begotten not for small will-be for-the prevailing
τοῦτο μαρτύριον, μᾶλλον δ' ἀπολόγημα πρὸς κατηγορίαν.
this a-testimony rather and a-defense against an-accusation
κατηγορεῖται δ' Ἀρετὴ μὲν ὡς καλὸν μὲν ἀνωφελὲς
is-accused and Virtue indeed as noble indeed unprofitable
δέ, Τύχη δ' ὡς ἀβέβαιον μὲν ἀγαθὸν δέ· καὶ τὴν μὲν
but Fortune and as unstable indeed good but and the-one indeed
ἄκαρπα πονεῖν λέγουσι, τὴν δ' ἄπιστα δωρεῖσθαι.
fruitless-things to-toil they-say the-other and untrustworthy-things to-give
τίς οὖν οὐχὶ λέξει, τῇ ἑτέρᾳ τῆς Ῥώμης προστεθείσης,
who then not will-say to-the one — Rome having-been-assigned
ἢ λυσιτελέστατον Ἀρετήν, εἰ τηλικαῦτα τοὺς ἀγαθοὺς
either most-profitable Virtue if such-great to-the good

δέδρακεν ἀγαθά· ἢ βεβαιότατον εὐτυχίαν, χρόνον ἤδη
she-has-done good-things or most-steadfast good-fortune for-time already
τοσοῦτον ἃ δέδωκε τηροῦσαν; Ἴων μὲν οὖν ὁ ποιητὴς
so-long what she-has-given keeping Ion indeed then the poet
ἐν τοῖς δίχα μέτρου καὶ καταλογάδην αὐτῷ γεγραμμένοις
in the-things without meter and in-prose by-him written
φησὶν ἀνομοιότατον πρᾶγμα τῇ σοφίᾳ τὴν τύχην οὖσαν
says most-unlike thing to-the wisdom the fortune being
ὁμοιοτάτων πραγμάτων γίγνεσθαι δημιουργόν· αὔξουσιν
of-most-like things to-become the-maker they-increase
ἀμφότεραι πόλεις, κοσμοῦσιν ἄνδρας, εἰς δόξαν ἀνάγουσιν
both cities they-adorn men to glory they-lead-up
εἰς δύναμιν εἰς ἡγεμονίαν. τί δεῖ τὰ πολλὰ μηκύνειν
to power to supremacy what it-is-needful the many-things to-prolong
ἐξαριθμούμενον; αὐτὴν τὴν τὰ πάντα γεννῶσαν ἡμῖν καὶ
enumerating very the the all-things begetting for-us and
φέρουσαν φύσιν οἱ μὲν τύχην εἶναι νομίζουσιν, οἱ δὲ
bearing nature some indeed fortune to-be think others and
σοφίαν. διὸ καλόν τι τῇ Ῥώμῃ καὶ ζηλωτὸν ὁ
wisdom wherefore fine something — to-Rome and enviable the
ἐνεστὼς λόγος ἀξίωμα περιτίθησιν, εἰ διαποροῦμεν περὶ
present discussion a-dignity puts-around if we-are-perplexed about
αὐτῆς, ὡς ὑπὲρ γῆς καὶ θαλάττης καὶ οὐρανοῦ καὶ ἄστρων,
her as about earth and sea and heaven and stars
πότερον κατὰ τύχην συνέστηκεν ἢ κατὰ πρόνοιαν.
whether by chance it-has-been-constituted or by providence

2 ἐγὼ δέ, ὅτι μέν, εἰ καὶ πάνυ πρὸς ἀλλήλας ἀεὶ
I but that indeed if even very against one-another always
πολεμοῦσι καὶ διαφέρονται Τύχη καὶ Ἀρετή, πρός
they-war and differ Fortune and Virtue for
γε τηλικαύτην σύμπηξιν ἀρχῆς καὶ δυνάμεως εἰκός
at-least so-great a-framing of-empire and power likely

ἐστιν αὐτὰς σπεισαμένας συνελθεῖν καὶ συνελθούσας
it-is them having-made-truce to-have-come-together and having-come-together
ἐπιτελειῶσαι καὶ συναπεργάσασθαι τῶν ἀνθρωπίνων ἔργων
to-have-completed and to-have-joined-in-producing of-the human works
τὸ κάλλιστον, ὀρθῶς ὑπονοεῖν οἴομαι. καὶ νομίζω, καθάπερ
the finest rightly to-suspect I-think and I-believe as
Πλάτων φησὶν ἐκ πυρὸς καὶ γῆς ὡς ἀναγκαίων τε
Plato says from fire and earth as necessary both
καὶ πρώτων γεγονέναι τὸν σύμπαντα κόσμον, ἵν'
and primary to-have-been-made the whole universe so-that
ὁρατός τε γένηται καὶ ἁπτός, γῆς μὲν τὸ ἐμβριθὲς
visible both it-may-become and tangible of-earth indeed the weight
καὶ στάσιμον αὐτῷ συμβαλομένης, πυρὸς δὲ χρῶμα καὶ
and stability to-it having-contributed of-fire and color and
μορφὴν καὶ κίνησιν· αἱ δ' ἐν μέσῳ φύσεις, ὕδωρ καὶ
form and motion the and in the-middle natures water and
ἀήρ, μαλάξασαι καὶ σβέσασαι τὴν ἑκατέρου τῶν ἄκρων
air having-softened and having-quenched the of-each of-the extremes
ἀνομοιότητα συνήγαγον καὶ ἀνεμίξαντο τὴν ὕλην δι'
unlikeness brought-together and mixed the matter through
αὐτῶν· οὕτως ἄρα καὶ ὁ τὴν Ῥώμην ὑποβαλόμενος
them so then also the — Rome having-laid-the-foundation
χρόνος μετὰ θεοῦ τύχην καὶ ἀρετὴν ἐκέρασε καὶ συνέζευξεν,
time with god fortune and virtue mixed and yoked-together
ἵν' ἑκατέρας λαβὼν τὸ οἰκεῖον ἀπεργάσηται πᾶσιν
so-that of-each taking the proper-element it-might-produce for-all
ἀνθρώποις ἑστίαν ἱερὰν ὡς ἀληθῶς καὶ ἀνησιδώραν καὶ
men a-hearth sacred as truly and gift-sending and
"πεῖσμα" μόνιμον καὶ στοιχεῖον ἀΐδιον, ὑποφερομένοις
a-cable lasting and an-element everlasting for-drifting
τοῖς πράγμασιν "ἀγκυροβόλιον σάλου καὶ πλάνης" ὥς
the affairs an-anchorage of-tossing and wandering as

φησι Δημόκριτος. ὡς γὰρ οἱ φυσικοὶ τὸν κόσμον
says Democritus as for the natural-philosophers the universe
λέγουσιν οὐκ εἶναι κόσμον οὐδ' ἐθέλειν τὰ σώματα
say not to-have-been a-universe nor to-be-willing the bodies
συνελθόντα καὶ συμμιγέντα κοινὸν ἐκ πάντων εἶδος
having-come-together and having-mixed common from all form
τῇ φύσει παρασχεῖν, ἀλλὰ τῶν μὲν ἔτι μικρῶν καὶ
to-the nature to-afford but of-the-ones indeed still small and
σποράδην φερομένων διολισθανόντων καὶ ὑποφευγόντων
scattered being-borne slipping-away and escaping
τὰς ἐναπολήψεις καὶ περιπλοκάς, τῶν δ' ἁδροτέρων
the interceptions and entanglements of-the-others and coarser
καὶ συνεστηκότων ἤδη δεινοὺς ἀγῶνας πρὸς ἄλληλα καὶ
and cohering already terrible contests against one-another and
διαταραχὰς λαμβανόντων, κλύδωνα καὶ βρασμὸν εἶναι καὶ
disturbances taking a-surge and seething to-be and
φθόρου καὶ πλάνης καὶ ναυαγίων μεστὰ πάντα, πρίν
of-destruction and wandering and wrecks full all-things before
γε τὴν γῆν μέγεθος λαβοῦσαν ἐκ τῶν συνισταμένων καὶ
at-least the earth size having-gained from the cohering and
φερομένων ἱδρυθῆναί πως αὐτὴν καὶ τοῖς ἄλλοις ἵδρυσιν
being-borne to-have-been-settled somehow itself and to-the others a-settling
ἐν αὑτῇ καὶ περὶ αὑτὴν παρασχεῖν· οὕτω τῶν μεγίστων
in itself and about itself to-afford so of-the greatest
ἐν ἀνθρώποις δυνάμεων καὶ ἡγεμονιῶν κατὰ τύχας
among men powers and supremacies by chances
ἐλαυνομένων καὶ συμφερομένων ὑπὸ τοῦ μηδένα κρατεῖν
being-driven and colliding through the no-one to-master
βούλεσθαι δὲ πάντας, ἀμήχανος ἦν ἡ φορὰ καὶ πλάνη
to-wish but all unmanageable was the motion and wandering
καὶ μεταβολὴ πᾶσα πάντων, μέχρι οὗ τῆς Ῥώμης ἰσχὺν
and change all of-all-things until — — Rome strength

καὶ αὔξησιν λαβούσης καὶ ἀναδησαμένης τοῦτο μὲν ἔθνη
and growth having-taken and having-bound-to-herself this indeed nations
καὶ δήμους ἐν αὑτῇ, τοῦτο δ' ἀλλοφύλους καὶ διαποντίους
and peoples in herself this and foreign and overseas
βασιλέων ἡγεμονίας, ἕδραν ἔσχε τὰ μέγιστα καὶ ἀσφάλειαν,
of-kings supremacies a-seat got the greatest and security
εἰς κόσμον εἰρήνης καὶ ἕνα κύκλον τῆς ἡγεμονίας ἄπταιστον
into order of-peace and one cycle of-the supremacy unfaltering
περιφερομένης, πάσης μὲν ἀρετῆς ἐγγενομένης τοῖς
revolving all indeed virtue having-been-present in-those
ταῦτα μηχανησαμένοις, πολλῆς δὲ καὶ τύχης συνελθούσης,
these-things having-contrived much and also fortune having-joined
ὡς ἐνέσται τοῦ λόγου προϊόντος ἐνδείξασθαι.
as it-will-be-possible of-the discourse proceeding to-show
νυνὶ δέ μοι δοκῶ τοῦ προβλήματος ὥσπερ ἀπὸ σκοπῆς 3
now and to-me I-seem of-the problem as from a-lookout
καθορᾶν ἐπὶ τὴν σύγκρισιν καὶ τὸν ἀγῶνα τήν τε Τύχην
to-look-down to the comparison and the contest — both Fortune
καὶ τὴν Ἀρετὴν βαδιζούσας. ἀλλὰ τῆς μὲν Ἀρετῆς πρᾴον
and — Virtue walking but — indeed of-Virtue gentle
τε τὸ βάδισμα καὶ τὸ βλέμμα καθεστηκός, ἐπανθεῖ
both the gait and the gaze composed blooms
δέ τι καὶ τῷ προσώπῳ πρὸς τὴν ἅμιλλαν ἐρύθημα
and some also on-the face toward the rivalry a-blush
τῆς φιλοτιμίας. καὶ πολὺ μὲν ὑστερεῖ σπευδούσης τῆς
of-the ambition and far indeed she-lags-behind hastening —
Τύχης, ἄγουσι δ' αὐτὴν καὶ δορυφοροῦσι κατὰ πλῆθος
Fortune lead and her and escort in multitude

ἄνδρες ἀρηίφατοι βεβροτωμένα τεύχε' ἔχοντες,
men slain-in-war blood-stained armor having

ἐναντίων τραυμάτων ἀνάπλεῳ, αἵμα συμμεμιγμένον ἱδρῶτι
of-frontal wounds full blood mixed with-sweat
σταλάζοντες, ἡμικλάστοις ἐπιβεβηκότες λαφύροις. βούλεσθε
dripping on-half-broken having-stepped spoils do-you-wish
δὲ πυθώμεθα, τίνες ποτ' εἰσὶν οὗτοι; Φαβρίκιοί φασιν εἶναι
and let-us-inquire who ever are these Fabricii they-say to-be
καὶ Κάμιλλοι καὶ Μούκιοι καὶ Κικιννᾶτοι καὶ Μάξιμοι
and Camilli and Mucii and Cincinnati and Maximi
Φάβιοι καὶ Κλαύδιοι Μάρκελλοι καὶ Σκιπίωνες. ὁρῶ δὲ
Fabii and Claudii Marcelli and Scipios I-see and
καὶ Γάιον Μάριον ὀργιζόμενον τῇ Τύχῃ, καὶ Μούκιος
also Gaius Marius being-angry — at-Fortune and Mucius
ἐκεῖ Σκευόλας τὴν φλεγομένην χεῖρα δείκνυσι βοῶν "μὴ
there Scaevola the burning hand shows shouting not
καὶ ταύτην τῇ Τύχῃ χαρίζῃ;" καὶ Μάρκος Ὡράτιος
also this — to-Fortune do-you-credit and Marcus Horatius
ἀριστεὺς παραποτάμιος Τυρρηνικοῖς βέλεσι βαρυνόμενος
hero by-the-river by-Tyrrhenian missiles weighed-down
καὶ σκάζοντα μηρὸν παρέχων, ἐκ βαθείας ὑποφθέγγεται
and a-limping thigh showing from deep calls-up
δίνης "οὐκοῦν κἀγὼ κατὰ τύχην πεπήρωμαι;" τοιοῦτος
the-eddy then I-too by chance have-been-maimed such
ὁ τῆς Ἀρετῆς χορὸς πρόσεισιν ἐπὶ τὴν σύγκρισιν,
the — of-Virtue chorus approaches to the comparison

βριθὺς ὁπλιτοπάλας δάιος ἀντιπάλοις.
heavy a-hoplite-wrestler hostile to-opponents

4 τῆς δὲ Τύχης ὀξὺ μὲν τὸ κίνημα καὶ θρασὺ τὸ
— but of-Fortune swift indeed the movement and bold the
φρόνημα καὶ μεγάλαυχον ἡ ἐλπίς, φθάνουσα δὲ τὴν
spirit and boastful the hope outrunning and —

Ἀρετὴν ἐγγύς ἐστιν, οὐ πτεροῖς ἐλαφρίζουσα κούφοις
Virtue near she-is not with-wings lightening light
ἑαυτὴν οὐδ' ἀκρώνυχον ὑπὲρ σφαίρας τινὸς ἴχνος καθεῖσα
herself nor tiptoe above a-ball some footprint setting-down
περισφαλὴς καὶ ἀμφίβολος πρόσεισιν, εἶτ' ἄπεισιν ἀηδής·
precarious and doubtful she-approaches then she-departs unpleasant
ἀλλ' ὥσπερ οἱ Σπαρτιᾶται τὴν Ἀφροδίτην λέγουσι
but as the Spartans — Aphrodite say
διαβαίνουσαν τὸν Εὐρώταν τὰ μὲν ἔσοπτρα καὶ τοὺς
crossing the Eurotas the indeed mirrors and the
χλιδῶνας καὶ τὸν κεστὸν ἀποθέσθαι, δόρυ δὲ καὶ ἀσπίδα
bracelets and the girdle to-have-put-aside spear but and shield
λαβεῖν κοσμουμένην τῷ Λυκούργῳ· οὕτως ἡ Τύχη
to-have-taken adorning-herself — for-Lycurgus so — Fortune
καταλιποῦσα Πέρσας καὶ Ἀσσυρίους Μακεδονίαν μὲν
having-left Persians and Assyrians Macedonia indeed
ἐλαφρὰ διέπτη καὶ ἀπεσείσατο ταχέως Ἀλέξανδρον, καὶ
lightly flew-over and shook-off quickly Alexander and
δι' Αἰγύπτου καὶ Συρίας περιφέρουσα βασιλείας διώδευσε,
through Egypt and Syria carrying-around kingdoms traveled
καὶ Καρχηδονίους στρεφομένη πολλάκις ἐβάστασε· τῷ δὲ
and Carthaginians turning often carried to-the but
Παλατίῳ προσερχομένη καὶ διαβαίνουσα τὸν Θύμβριν ὡς
Palatine approaching and crossing the Tiber as
ἔοικεν ἔθηκε τὰς πτέρυγας, ἐξέβη τῶν πεδίλων, ἀπέλιπε
it-seems she-put-off the wings stepped-out-of the sandals left
τὴν ἄπιστον καὶ παλίμβολον σφαῖραν. οὕτως εἰσῆλθεν
the untrustworthy and changeable ball so she-entered
εἰς Ῥώμην ὡς μενοῦσα καὶ τοιαύτη πάρεστιν ὡς ἐπὶ τὴν
into Rome as going-to-stay and such she-is-present as to the
δίκην. "οὐ μὲν γὰρ ἀπειθής" κατὰ Πίνδαρον "οὐδὲ
trial not indeed for unyielding according-to Pindar nor

δίδυμον στρέφουσα πηδάλιον" ἀλλὰ μᾶλλον "εὐνομίας καὶ
a-double turning rudder but rather of-good-order and
Πειθοῦς ἀδελφὰ καὶ Προμαθείας θυγάτηρ" ὡς γενεαλογεῖ
Persuasion sister and of-Forethought daughter as traces-the-lineage
Ἀλκμάν. τὸ δ' ὑμνούμενον ἐκεῖνο τοῦ πλούτου κέρας
Alcman the and celebrated that of-the wealth horn
ἔχει διὰ χειρός, οὐκ ὀπώρας ἀεὶ θαλλούσης μεστόν, ἀλλ'
she-holds in hand not with-fruit always blooming full but
ὅσα φέρει πᾶσα γῆ πᾶσα δὲ θάλαττα καὶ ποταμοὶ
as-much-as bears all earth all and sea and rivers
καὶ μέταλλα καὶ λιμένες, ἄφθονα καὶ ῥύδην ἐπιχεαμένη.
and mines and harbors abundantly and in-streams having-poured-out
λαμπροὶ δὲ καὶ διαπρεπεῖς ἄνδρες οὐκ ὀλίγοι μετ' αὐτῆς
brilliant and and distinguished men not few with her
ὁρῶνται, Πομπίλιος Νομᾶς ἐκ Σαβίνων καὶ Πρῖσκος ἐκ
are-seen Pompilius Numa from Sabines and Priscus from
Ταρκυνίων, οὓς ἐπήλυδας βασιλεῖς καὶ ξένους ἐνιδρύσατο
Tarquinii whom as-incoming kings and foreigners she-established
τοῖς Ῥωμύλου θρόνοις· καὶ Παῦλος Αἰμίλιος ἀπὸ Περσέως
on-the of-Romulus thrones and Paulus Aemilius from Perseus
καὶ Μακεδόνων ἄτρωτον στρατὸν ἄγων καὶ νίκην ἄδακρυν
and Macedonians an-unwounded army leading and a-victory tearless
θριαμβεύων μεγαλύνει τὴν Τύχην· μεγαλύνει δὲ καὶ
celebrating-in-triumph magnifies — Fortune magnifies and also
Καικίλιος Μέτελλος ὁ Μακεδονικὸς γέρων, ὑπὸ τεσσάρων
Caecilius Metellus the Macedonicus an-old-man by four
παίδων ὑπατικῶν ἐκκομιζόμενος, Κοΐντου Βαλεαρικοῦ καὶ
sons consular being-carried-out Quintus Balearicus and
Λευκίου Διαδημάτα καὶ Μάρκου Μετέλλου καὶ Γαΐου
Lucius Diadematus and Marcus Metellus and Gaius
Καπραρίου, καὶ δυεῖν γαμβρῶν ὑπατικῶν καὶ θυγατριδῶν
Caprarius and two sons-in-law consular and grandsons

κοσμουμένων ἐπιφανέσιν ἀριστείαις καὶ πολιτείαις. Αἰμίλιος
adorned with-conspicuous feats and offices Aemilius
δὲ Σκαῦρος ἐκ ταπεινοῦ βίου καὶ ταπεινοτέρου γένους
and Scaurus from humble life and humbler family
καινὸς ἄνθρωπος ἀρθεὶς ὑπ᾽ αὐτῆς, προγράφεται τοῦ
a-new man raised by her is-enrolled-first of-the
μεγάλου συνεδρίου. Κορνήλιον δὲ Σύλλαν ἐκ τῶν
great council Cornelius and Sulla from the
Νικοπόλεως τῆς ἑταίρας ἀναλαβοῦσα καὶ βαστάσασα
of-Nicopolis the courtesan having-taken-up and having-carried
κόλπων, ὑψηλότερον τῶν Κιμβρικῶν Μαρίου θριάμβων καὶ
bosom higher than-the Cimbrian of-Marius triumphs and
τῶν ἑπτὰ ὑπατειῶν ἐπιτίθησι μοναρχίαις καὶ δικτατωρίαις.
the seven consulships she-sets on-monarchies and dictatorships
ἄντικρυς οὗτος τῇ Τύχῃ μετὰ τῶν πράξεων ἑαυτὸν
outright this-one — to-Fortune with the deeds himself
εἰσεποίει, βοῶν κατὰ τὸν Οἰδίποδα τὸν Σοφοκλέους

ἐγὼ δ᾽ ἐμαυτὸν παῖδα τῆς Τύχης νέμω.
I and myself a-child — of-Fortune count

καὶ Ῥωμαϊστὶ μὲν Φήλιξ ὠνομάζετο, τοῖς δ᾽ Ἕλλησιν οὕτως
and in-Latin indeed Felix he-was-named to-the but Greeks thus
ἔγραφε "Λούκιος Κορνήλιος Σύλλας Ἐπαφρόδιτος." καὶ τὰ
he-wrote Lucius Cornelius Sulla Epaphroditus and the
παρ᾽ ἡμῖν ἐν Χαιρωνείᾳ τρόπαια κατὰ τῶν Μιθριδατικῶν
among us at Chaeronea trophies over the Mithridatic-forces
οὕτως ἐπιγέγραπται, καὶ εἰκότως· "πλεῖστον γὰρ Ἀφροδίτης"
so are-inscribed and fittingly most for of-Aphrodite
οὐ "νύξ" κατὰ Μένανδρον, ἀλλὰ τύχη μετέσχηκεν.
not night according-to Menander but fortune has-shared

Rome's temples bear witness: Virtue's came late, from Scipio and Marcellus, but Fortune's are many and ancient, from Ancus Marcius, the Women's Fortune built when the women turned Coriolanus back, and Camillus' shrines to Rumor and Omen. Caesar told the pilot he carried Caesar and Caesar's Fortune; Augustus prayed that his grandson have Pompey's goodwill and his own fortune, and Antony's seer warned that his genius feared Caesar's. Fortune saved Romulus by the she-wolf and the woodpecker: Virtue made him great, Fortune kept him until he was.

ἆρ᾽ οὖν ταύτην τις ἀρχὴν ποιησάμενος οἰκείαν ὑπὲρ
is-it then this anyone beginning having-made one's-own on-behalf-of
τῆς Τύχης ἐπάγοιτο μάρτυρας αὐτοὺς Ῥωμαίους, ὡς
— *Fortune might-bring-in as-witnesses themselves Romans as*
τῇ Τύχῃ πλέον ἢ τῇ Ἀρετῇ νέμοντας; Ἀρετῆς μέν
— *to-Fortune more than — to-Virtue assigning of-Virtue indeed*
γε παρ᾽ αὐτοῖς ὀψὲ καὶ μετὰ πολλοὺς χρόνους ἱερὸν
at-least among them late and after many times a-temple
ἱδρύσατο Σκιπίων ὁ Νομαντῖνος, εἶτα Μάρκελλος τὸ
founded Scipio the Numantinus then Marcellus the
Οὐιρτοῦτίς τε καὶ Ὀνῶρις προσαγορευόμενον· καὶ τὸ
of-Virtus both and of-Honor called and the
τῆς Μέντις καλουμένης (Γνώμης ἂν νομίζοιτο) Σκαῦρος
— *of-Mens called of-Judgment — might-be-thought Scaurus*
Αἰμίλιος, περὶ τὰ Κιμβρικὰ τοῖς χρόνοις γεγονώς· ἤδη
Aemilius about the Cimbrian-wars in-the times having-lived already
τότε λόγων καὶ σοφισμάτων καὶ στωμυλίας παρεισρυείσης
then words and sophisms and glibness having-slipped-in
εἰς τὴν πόλιν, ἤρχοντο σεμνύνειν τὰ τοιαῦτα. σοφίας
into the city they-began to-exalt the such-things of-wisdom
δὲ μέχρι καὶ νῦν ἱερὸν οὐκ ἔστιν οὐδὲ σωφροσύνης
but until even now a-temple not is nor of-self-control

ἢ καρτερίας ἢ μεγαλοψυχίας ἢ ἐγκρατείας· ἀλλὰ τά
or of-endurance or of-greatness-of-soul or of-continence but the
γε τῆς Τύχης ἱερὰ λαμπρὰ καὶ παλαιά, καὶ ὁμοῦ
at-least — of-Fortune temples splendid and ancient and nearly
τι τοῖς πρώτοις καταμεμιγμένα τῆς πόλεως θεμελίοις
somewhat with-the first mingled of-the city foundations
γέγονε. πρῶτος μὲν γὰρ ἱδρύσατο Τύχης ἱερὸν Μάρκιος
have-been first indeed for founded of-Fortune a-temple Marcius
Ἄγκος, ὁ Νομᾶ θυγατριδοῦς καὶ τέταρτος ἀπὸ Ῥωμύλου
Ancus the of-Numa grandson and fourth from Romulus
βασιλεὺς γενόμενος· καὶ τάχα που τῇ τύχῃ τὴν ἀνδρείαν
king having-become and perhaps somehow to-the fortune the courage
παρωνόμασεν, ᾗ πλεῖστον εἰς τὸ νικᾶν τύχης
he-named-beside in-which most toward the conquering fortune
μέτεστι. τὸ δὲ τῆς γυναικείας Τύχης κατεσκευάσαντο,
has-a-share the and of-the womanly Fortune they-built
ὅτε Μάρκιον Κοριολᾶνον ἐπάγοντα τῇ πόλει Οὐολούσκους
when Marcius Coriolanus leading-against the city Volsci
ἀπετρέψαντο διὰ τῶν γυναικῶν. πρεσβευσάμεναι γὰρ
they-turned-back through the women having-gone-as-envoys for
αὗται πρὸς τὸν ἄνδρα μετὰ τῆς μητρὸς αὐτοῦ καὶ τῆς
these to the man with the mother his and the
γυναικός, ἐξελιπάρησαν καὶ κατειργάσαντο φείσασθαι τῆς
wife entreated and prevailed to-spare the
πόλεως καὶ τὴν στρατιὰν τῶν βαρβάρων ἀπαγαγεῖν. τότε
city and the army of-the barbarians to-lead-away then
λέγεται τὸ ἄγαλμα τῆς Τύχης ἅμα τῷ καθιερωθῆναι
it-is-said the statue — of-Fortune together-with the being-consecrated
φωνὴν ἀφεῖναι καὶ εἰπεῖν "ὁσίως με πόλεως νόμῳ,
a-voice to-have-uttered and to-have-said piously me of-the-city by-the-law
γυναῖκες ἀσταί, καθιδρύσασθε" καὶ μὴν καὶ Φούριος
women citizens you-have-dedicated and indeed also Furius

Κάμιλλος, ὅτε τὸ Κελτικὸν ἔσβεσε πῦρ, καὶ τὴν Ῥώμην
Camillus when the Celtic quenched fire and — Rome
ἀντίρροπον χρυσῷ κεκλιμένην ἀπὸ τοῦ ζυγοῦ καὶ τῆς
counterweighed against-gold weighed-down from the beam and the
πλάστιγγος καθεῖλεν, οὔτ' εὐβουλίας οὔτ' ἀνδρείας, ἀλλὰ
scale took-down neither of-good-counsel nor of-courage but
Φήμης ἱδρύσατο καὶ Κληδόνος ἕδη παρὰ τὴν Καινὴν ὁδόν,
of-Rumor founded and of-Omen seats beside the New street
ὅπου φασὶ πρὸ τοῦ πολέμου Μάρκῳ Καιδικίῳ βαδίζοντι
where they-say before the war to-Marcus Caedicius walking
νύκτωρ φωνὴν γενέσθαι κελεύουσαν ὀλίγῳ χρόνῳ Γαλατικὸν
by-night a-voice to-have-come bidding in-little time a-Gallic
πόλεμον προσδέχεσθαι. τὴν δὲ πρὸς τῷ ποταμῷ Τύχην
war to-expect the and by the river Fortune
"φόρτιν" καλοῦσιν ὅπερ ἐστὶν ἰσχυρὰν ἢ ἀριστευτικὴν ἢ
fortis they-call which is strong or valorous or
ἀνδρείαν, ὡς τὸ νικητικὸν ἁπάντων κράτος ἔχουσαν. καὶ
manly as the conquering of-all power having and
τόν γε ναὸν αὐτῆς ἐν τοῖς ὑπὸ Καίσαρος τῷ δήμῳ
the at-least temple her in the by Caesar to-the people
καταλειφθεῖσι κήποις ᾠκοδόμησαν, ἡγούμενοι κἀκεῖνον
left gardens they-built thinking that-man-too
εὐτυχίᾳ γενέσθαι μέγιστον, ὡς αὐτὸς ἐμαρτύρησε.
by-good-fortune to-have-become greatest as himself testified
6 περὶ δὲ Γαΐου Καίσαρος ᾐδέσθην ἂν εἰπεῖν,
about and Gaius Caesar I-should-have-been-ashamed — to-say
ὡς ὑπ' εὐτυχίας ἤρθη μέγιστος, εἰ μὴ τοῦτ' αὐτὸς
that by good-fortune he-was-raised greatest if not this himself
ἐμαρτύρησεν. ἐπεὶ γὰρ ἀπὸ Βρεντεσίου Πομπήιον διώκων
had-testified when for from Brundisium Pompey pursuing
ἀνήρθη πρὸ μιᾶς ἡμέρας νοννῶν Ἰανουαρίων, χειμῶνος ἐν
he-put-to-sea before one day of-the-nones of-January winter at

τροπαῖς ὄντος, τὸ μὲν πέλαγος ἀσφαλῶς διεπέρασε, τῆς
the-solstice being the indeed sea safely he-crossed —
Τύχης τὸν καιρὸν ὑπερθεμένης· εὑρὼν δὲ τὸν Πομπήιον
Fortune the season having-postponed having-found and — Pompey
ἄθρουν καὶ πολὺν μὲν ἐν γῇ πολὺν δ' ἐν θαλάσσῃ μετὰ
massed and great indeed on land great and on sea with
πασῶν ἅμα τῶν δυνάμεων καθεζόμενον αὐτὸς ὀλιγοστὸς
all at-once the forces sitting himself very-few
ὤν, τῆς μετ' Ἀντωνίου καὶ Σαβίνου στρατιᾶς αὐτῷ
being the with Antony and Sabinus army for-him
βραδυνούσης, ἐτόλμησεν εἰς ἀκάτιον μικρὸν ἐμβὰς
being-slow he-dared into a-boat small having-embarked
καὶ λαθὼν τόν τε ναύκληρον καὶ τὸν κυβερνήτην
and having-escaped-notice-of the both shipmaster and the pilot
ὥς τινος θεράπων ἀναχθῆναι. σκληρᾶς δὲ πρὸς τὸ ῥεῦμα
as of-some servant to-put-to-sea harsh and against the current
τοῦ ποταμοῦ γενομένης ἀντιμεταβάσεως καὶ κλύδωνος
of-the river having-been a-counter-surge and swell
ἰσχυροῦ, μεταβαλλόμενον ὁρῶν τὸν κυβερνήτην ἀφεῖλεν
strong changing-course seeing the pilot he-took-off
ἀπὸ τῆς κεφαλῆς τὸ ἱμάτιον, καὶ ἀναδείξας ἑαυτὸν "ἴθι"
from the head the cloak and having-revealed himself go
ἔφη "γενναῖε, τόλμα καὶ δέδιθι μηδέν, ἀλλ' ἐπιδίδου
he-said noble-fellow dare and fear nothing but give
τῇ Τύχῃ τὰ ἱστία καὶ δέχου τὸ πνεῦμα, πιστεύων
— to-Fortune the sails and receive the wind trusting
ὅτι Καίσαρα φέρεις καὶ τὴν Καίσαρος Τύχην" οὕτως
that Caesar you-carry and the of-Caesar Fortune so
ἐπέπειστο τὴν Τύχην αὐτῷ συμπλεῖν, συναποδημεῖν,
he-was-persuaded — Fortune with-him to-sail to-travel
συστρατεύεσθαι, συστρατηγεῖν· ᾗ ἔργον ἦν γαλήνην
to-campaign to-command whose work was calm

μὲν ἐπιτάξαι θαλάσσῃ, θέρος δὲ χειμῶνι, τάχος δὲ τοῖς
indeed to-impose on-sea summer and on-winter speed and on-the
βραδυτάτοις, ἀλκὴν δὲ τοῖς ἀθυμοτάτοις· τὸ δὲ τούτων
slowest strength and on-the most-faint-hearted the and than-these
ἀπιστότερον, φυγὴν Πομπηίῳ καὶ Πτολεμαίῳ ξενοκτονίαν,
more-incredible flight to-Pompey and to-Ptolemy guest-murder
ἵνα καὶ Πομπήιος πέσῃ καὶ Καῖσαρ μὴ μιανθῇ.
so-that both Pompey might-fall and Caesar not be-defiled

7 τί δέ; ὁ τούτου μὲν υἱός, πρῶτος δ' ἀναγορευθεὶς
what and the of-this-one indeed son first and proclaimed
Σεβαστός, ἄρξας δὲ τέσσαρα καὶ πεντήκοντα ἔτη, οὐκ
Augustus having-ruled and four and fifty years not
αὐτὸς ἐκπέμπων τὸν θυγατριδοῦν ἐπὶ στρατείαν εὔξατο
himself sending-out the grandson on campaign prayed
τοῖς θεοῖς ἀνδρείαν μὲν αὐτῷ δοῦναι τὴν Σκιπίωνος,
to-the gods courage indeed to-him to-give the of-Scipio
εὔνοιαν δὲ τὴν Πομπηίου, Τύχην δὲ τὴν αὑτοῦ; καθάπερ
goodwill and the of-Pompey Fortune and the his-own as
ἔργῳ μεγάλῳ δημιουργὸν ἐπιγράψας ἑαυτῷ τὴν Τύχην,
on-a-work great a-craftsman having-inscribed for-himself — Fortune
ἥτις αὐτὸν ἐπιθεῖσα Κικέρωνι καὶ Λεπίδῳ καὶ Πάσσᾳ καὶ
which him having-set-upon Cicero and Lepidus and Pansa and
Ἱρτίῳ καὶ Μάρκῳ Ἀντωνίῳ, ταῖς ἐκείνων ἀριστείαις καὶ
Hirtius and Marcus Antonius by-the their feats and
χερσὶ καὶ νίκαις καὶ στόλοις καὶ πολέμοις καὶ στρατοπέδοις
hands and victories and fleets and wars and camps
γενόμενον πρῶτον εἰς ὕψος ἄρασα καὶ καταβαλοῦσα
having-become first to height having-lifted and having-thrown-down
τούτους, δι' ὧν ἀνέβη, μόνον κατέλιπεν. ἐκείνῳ γὰρ
those through whom he-rose alone left for-that-one for
ἐπολιτεύετο Κικέρων καὶ Λέπιδος ἐστρατήγει καὶ Πάσσας
governed Cicero and Lepidus commanded and Pansa

ἐνίκα καὶ Ἵρτιος ἔπιπτε καὶ Ἀντώνιος ὕβριζεν. ἐγὼ γὰρ
conquered and Hirtius fell and Antony behaved-insolently I for
καὶ Κλεοπάτραν αὐτὴν τύχην Καίσαρος τίθημι, περὶ ἣν
also Cleopatra herself fortune of-Caesar count on whom
ὡς ἔρμα κατέδυ καὶ συνετρίβη τηλικοῦτος αὐτοκράτωρ,
as on-a-reef sank and was-shattered so-great an-imperator
ἵν' ᾖ μόνος Καῖσαρ. λέγεται δέ, πολλῆς οἰκειότητος
so-that might-be alone Caesar it-is-said and much intimacy
αὐτοῖς καὶ συνηθείας ὑπαρχούσης, πολλάκις σχολαζόντων
to-them and familiarity existing often being-at-leisure
εἰς παιδιὰν σφαίρας ἢ κύβων ἢ νὴ Δία θρεμμάτων
for play of-ball or of-dice or by Zeus of-animals
ἁμίλλης, οἷον ὀρτύγων, ἀλεκτρυόνων, ἀεὶ νικώμενον
contest such-as of-quails of-cocks always beaten
Ἀντώνιον ἀπαλλάττεσθαι· καί τινα τῶν περὶ αὐτὸν
Antony to-come-off and one of-those about him
ἐπὶ μαντείᾳ σεμνυνόμενον πολλάκις παρρησιάζεσθαι καὶ
on divination priding-himself often to-speak-freely and
νουθετεῖν, "ὦ ἄνθρωπε, τί σοι πρᾶγμα πρὸς τοῦτον ἔστι
to-admonish O man what to-you business with this-one is
τὸν νεανίσκον; φεῦγ' αὐτόν· ἐνδοξότερος εἶ, πρεσβύτερος
the young-man flee him more-glorious you-are older
εἶ, ἄρχεις πλειόνων, ἐνήθληκας πολέμοις, ἐμπειρίᾳ
you-are you-rule more you-have-competed in-wars in-experience
διαφέρεις· ἀλλ' ὁ σὸς δαίμων τὸν τούτου φοβεῖται· καὶ ἡ
you-excel but the your genius the of-this-one fears and the
τύχη σου καθ' ἑαυτήν ἐστι μεγάλη κολακεύει δὲ τὴν τούτου·
fortune your by itself is great flatters but the of-this-one
ἐὰν μὴ μακρὰν ᾖς, οἰχήσεται μεταβᾶσα πρὸς αὐτόν."
if not far you-be it-will-go having-passed-over to him

8 ἀλλὰ γὰρ αἱ μὲν ἀπὸ τῶν μαρτύρων πίστεις τοσαῦται τῇ
but for the indeed from the witnesses proofs so-many —
Τύχῃ πάρεισι. δεῖ δὲ καὶ τὰς ἀπὸ τῶν πραγμάτων
to-Fortune are-present it-is-needful and also the from the facts
αὐτῶν εἰσάγειν, ἀρχὴν τοῦ λόγου τὴν ἀρχὴν τῆς
themselves to-bring-in as-beginning of-the discourse the beginning of-the
πόλεως λαβόντας. εὐθὺς γοῦν τίς οὐκ ἂν εἴποι πρὸς τὴν
city having-taken at-once at-least who not — would-say to the
Ῥωμύλου γένεσιν καὶ σωτηρίαν καὶ τροφὴν καὶ αὔξησιν
of-Romulus birth and preservation and rearing and growth
τὴν μὲν Τύχην ὑποβολὰς κατατεθεῖσθαι τὴν δ' Ἀρετὴν
— indeed Fortune the-foundations to-have-laid — but Virtue
ἐξῳκοδομηκέναι; πρῶτον μὲν οὖν τὸ περὶ τὴν γένεσιν
to-have-built-up first indeed then the-matter about the birth
καὶ τὴν τέκνωσιν αὐτῶν τῶν ἱδρυσαμένων καὶ κτισάντων
and the begetting of-very the founders and builders
τὴν πόλιν εὐτυχίας ἔοικε θαυμαστῆς γενέσθαι. θεῷ
the city of-good-fortune seems wonderful to-have-been with-a-god
γὰρ ἡ τεκοῦσα μιχθῆναι λέγεται, καὶ καθάπερ τὸν
for the having-borne-them to-have-mated is-said and as —
Ἡρακλέα σπαρῆναί φασιν ἐν μακρᾷ νυκτί, τῆς ἡμέρας
Heracles to-have-been-begotten they-say in long night the day
ἐπισχεθείσης παρὰ φύσιν καὶ τοῦ ἡλίου βραδύναντος·
having-been-held-back contrary-to nature and the sun having-been-slow
οὕτω περὶ τὴν Ῥωμύλου σποράν καὶ καταβολὴν τὸν
so about the of-Romulus begetting and conception the
ἥλιον ἐκλιπεῖν ἱστοροῦσι, ποιησάμενον ἀτρεκῆ σύνοδον
sun to-have-been-eclipsed they-record having-made exact conjunction
πρὸς σελήνην, ὥσπερ ὁ Ἄρης θεὸς ὢν τῇ Σιλβίᾳ θνητῇ
with moon as — Ares a-god being — with-Silvia mortal
συνῆλθε. τοῦτο δὲ συντυχεῖν τῷ Ῥωμύλῳ καὶ περὶ τὴν
mated this and to-have-befallen — Romulus also about the

μετάστασιν αὐτὴν τοῦ βίου· λέγουσι γὰρ ἐκλείποντος
departure itself from-the life they-say for being-eclipsed
τοῦ ἡλίου ἠφανίσθαι, νόνναις καπρατίναις, ἣν ἄχρι νῦν
the sun to-have-vanished on-the-nones capratine which until now
ἡμέραν ἐπιφανῶς ἑορτάζουσιν. ἔπειτα γεννηθέντας αὐτούς,
day conspicuously they-celebrate then having-been-born them
τοῦ τυράννου ζητοῦντος ἀνελεῖν, παρέλαβε κατὰ τύχην
the tyrant seeking to-kill took-them by chance
οὐ βάρβαρος οὐδ' ἄγριος ὑπηρέτης, ἐλεήμων δέ τις καὶ
not a-barbarian nor savage servant merciful but one and
φιλάνθρωπος, ὥστε μὴ κτεῖναι· ἀλλὰ τοῦ ποταμοῦ τις ἦν
humane so-that not to-kill but of-the river a was
ὄχθη χλοερῷ λειμῶνι προσβλύζουσα καὶ περισκιαζομένη
bank to-a-green meadow bubbling and overshadowed
χθαμαλοῖς δένδρεσιν· ἐνταῦθα κατέθηκε τὰ βρέφη πλησίον
with-low trees there he-set-down the infants near
ἐρινεοῦ τινος, ὃν ῥουμινᾶλιν ὠνόμαζον. εἶτα λύκαινα μὲν
a-wild-fig-tree some which ruminalis they-named then a-she-wolf indeed
νεοτόκος σπαργῶσα καὶ πλημμυροῦσα τοὺς μαστοὺς
having-newly-whelped swelling and overflowing in-the teats
γάλακτι, τῶν σκύμνων ἀπολωλότων, αὐτὴ χρῄζουσα
with-milk the cubs having-perished herself needing
κουφισμοῦ, περιέστειξε τὰ βρέφη καὶ θηλὴν ἐπέσχεν, ὥσπερ
relief stepped-around the infants and the-teat held-to-them as
ὠδῖνα δευτέραν ἀποτιθεμένη τὴν τοῦ γάλακτος. ἱερὸς
a-birth-pang second putting-off the of-the milk sacred
δ' ὄρνις Ἄρεος, ὃν δρυοκολάπτην καλοῦσιν, ἐπιφοιτῶν
and bird of-Ares which woodpecker they-call visiting
καὶ προσκαθίζων ἀκρώνυχος, ἐν μέρει τῶν νηπίων
and perching on-tiptoe in turn of-the babes
ἑκατέρου στόμα τῇ χηλῇ διοίγων, ἐνετίθει ψώμισμα,
of-each mouth with-the claw opening put-in a-morsel

τῆς αὑτοῦ τροφῆς ἀπομερίζων. τὸν μὲν οὖν ἐρινεὸν
of-the his-own food sharing the indeed then wild-fig-tree
ῥουμινᾶλιν ὠνόμασαν ἀπὸ τῆς θηλῆς, ἣν ἡ λύκαινα παρ᾽
ruminalis they-named from the teat which the she-wolf beside
αὐτὸν ὀκλάσασα τοῖς βρέφεσι παρέσχε· μέχρι δὲ πολλοῦ
it having-crouched to-the infants offered until and long
διεφύλαττον οἱ περὶ τὸν τόπον ἐκεῖνον κατοικοῦντες μηδὲν
kept the about the place that dwelling nothing
ἐκτιθέναι τῶν γεννωμένων, ἀλλ᾽ ἀναιρεῖσθαι πάντα καὶ
to-expose of-the being-born but to-take-up all and
τρέφειν, τὸ Ῥωμύλου πάθος καὶ τὴν ὁμοιότητα τιμῶντες.
to-rear the of-Romulus experience and the likeness honoring
καὶ μὴν τό τε λαθεῖν αὐτοὺς τρεφομένους καὶ
and indeed the both to-escape-notice them being-reared and
παιδευομένους ἐν Γαβίοις καὶ ἀγνοηθῆναι Σιλβίας ὄντας
being-educated in Gabii and to-be-unknown of-Silvia being
υἱοὺς καὶ θυγατριδοῦς Νομίτορος τοῦ βασιλέως παντάπασι
sons and grandsons of-Numitor the king altogether
Τύχης κλέμμα καὶ σόφισμα φαίνεται γεγενημένον, ὅπως
of-Fortune a-theft and a-device seems to-have-been so-that
μὴ ἀπόλωνται πρὸ τῶν ἔργων διὰ τὸ γένος, ἀλλ᾽
not they-might-perish before the deeds through the birth but
ἐν αὐτοῖς φανῶσι τοῖς κατορθώμασι, γνώρισμα τῆς
in very might-appear the successes a-token of-the
εὐγενείας τὴν ἀρετὴν παρέχοντες. ἐνταῦθά μοι μεγάλου καὶ
noble-birth the virtue providing here to-me of-a-great and
φρονίμου στρατηγοῦ λόγος ἔπεισι Θεμιστοκλέους, ῥηθεὶς
prudent general a-saying occurs of-Themistocles spoken
πρός τινας τῶν ὕστερον εὐημερούντων Ἀθήνησι στρατηγῶν
to some of-the later prospering at-Athens generals
καὶ προτιμᾶσθαι τοῦ Θεμιστοκλέους ἀξιούντων. ἔφη γὰρ
and to-be-preferred — than-Themistocles claiming he-said for

τὴν ὑστεραίαν ἐρίσαι πρὸς τὴν ἑορτὴν λέγουσαν ὡς
the day-after to-have-quarreled with the festival saying that
ἐκείνη μέν ἐστι κοπώδης καὶ ἄσχολος, ἐν αὐτῇ δὲ τῶν
she indeed is toilsome and busy in her but of-the-things
παρεσκευασμένων ἀπολαύουσι μεθ' ἡσυχίας τὴν οὖν ἑορτὴν
prepared they-enjoy with quiet the then festival
εἰπεῖν "ἀληθῆ λέγεις, ἀλλ' ἐμοῦ μὴ γενομένης, ποῦ ἂν
to-have-said true you-say but me not having-been where —
σὺ ἦσθα;" "κἀμοῦ τοίνυν" ἔφη "μὴ γενομένου περὶ τὰ
you would-have-been and-of-me then he-said not having-been at the
Μηδικά, τίς ἂν ὑμῶν ἦν νῦν ὄνησις;" τοῦτό μοι δοκεῖ
Persian-wars what — of-you would-be now benefit this to-me seems
πρὸς τὴν Ῥωμύλου Ἀρετὴν ἡ Τύχη λέγειν "λαμπρὰ μὲν
to the of-Romulus Virtue — Fortune to-say splendid indeed
τὰ σὰ ἔργα καὶ μεγάλα καὶ θεῖον ὡς ἀληθῶς ἐξέφηνας
the your deeds and great and divine as truly you-have-shown
αἷμα καὶ γένος οὖσαν σεαυτὴν ἀλλ' ὁρᾷς πόσον ὑστερεῖς
blood and race being yourself but you-see how-much you-fall-behind
μου; εἰ γὰρ ἐγὼ τότε μὴ παρηκολούθησα χρηστὴ καὶ
me if for I then not had-followed kind and
φιλάνθρωπος, ἀλλ' ἀπέλιπον καὶ προηκάμην τὰ νήπια,
humane but had-abandoned and given-up the babes
σὺ πῶς ἂν ἐγένου καὶ πόθεν ἐξέλαμψας; εἰ
you how — would-you-have-been and whence would-you-have-shone-forth if
τότε μὴ θῆλυ θηρίον ἐπῆλθε φλεγμαῖνον ὑπὸ πλήθους καὶ
then not a-female beast had-come inflamed by abundance and
φορᾶς γάλακτος καὶ τραφησομένου δεόμενον μᾶλλον ἢ
flow of-milk and of-one-going-to-be-nourished needing rather than
θρέψοντος, ἀλλ' ἀνήμερόν τι τελέως καὶ λιμῶττον,
of-one-going-to-nourish but savage something completely and starving
οὐκ ἂν ἔτι νῦν τὰ καλὰ ταῦτα βασίλεια καὶ ναοὶ καὶ
not — still now the fair these palaces and temples and

θέατρα καὶ περίπατοι καὶ ἀγορὰ καὶ ἀρχεῖα βοτηρικαὶ
theaters and walks and forum and offices herdsmen's
καλύβαι καὶ σταθμοὶ νομέων ἦσαν, Ἀλβανὸν ἢ Τυρρηνὸν
huts and folds of-shepherds would-be Alban or Tyrrhenian
ἢ Λατῖνον ἄνδρα δεσπότην προσκυνούντων" ἀρχὴ μὲν
or Latin man as-master doing-obeisance-to beginning indeed
δὴ μέγιστον ἐν παντί, μάλιστα δ' ἐν ἱδρύσει καὶ
indeed greatest in everything most and in founding and
κτίσει πόλεως· ταύτην δ' ἡ Τύχη παρέσχε, σῴσασα καὶ
building of-a-city this and — Fortune provided having-saved and
φυλάξασα τὸν κτίστην· ἡ μὲν γὰρ Ἀρετὴ μέγαν ἐποίησε
having-guarded the founder — indeed for Virtue great made
Ῥωμύλον, ἡ Τύχη δ' ἄχρι τοῦ γενέσθαι μέγαν ἐτήρησε.
Romulus — Fortune but up-to the becoming great kept-him

9–13 · FORTUNE AND ROME'S RISE

Numa's long reign was Fortune's gift, a calm in which the city could settle before its wars; the gate of Janus was closed only twice after him. Servius Tullius, born of a captive, founded many shrines to Fortune. Rome's conquests came as if borne by Fortune's wind, and its enemies were kept apart; Fortune saved the Capitol when the geese woke the guard. Plutarch counts Alexander's death among Fortune's gifts to Rome, before his army could meet Rome's strength, and the speech breaks off there.

9 καὶ μὴν τήν γε Νομᾶ βασιλείαν πολυχρονιωτάτην
and indeed the at-least of-Numa reign longest
γενομένην ὁμολογουμένως εὐτυχία διεκυβέρνησε θαυμαστή.
having-been admittedly good-fortune steered wonderful
τὸ μὲν γὰρ Ἐγερίαν τινά, νυμφῶν μίαν δρυάδων,
the indeed for Egeria some of-nymphs one of-dryads
δαίμονα σοφὴν ἔρωτι τἀνδρὸς ἐν συνουσίᾳ γενομένην,
a-divinity wise from-love of-the-man in intercourse having-come

παραπαιδαγωγεῖν καὶ συσχηματίζειν τὴν πολιτείαν, ἴσως
to-tutor and to-help-shape the polity perhaps
μυθωδέστερόν ἐστι. καὶ γὰρ ἄλλοι λεχθέντες ἅψασθαι
more-fabulous is and for others said to-have-touched
γάμων θείων καὶ θεοῖς ἐράσμιοι γενέσθαι, Πηλεῖς
marriages divine and to-gods beloved to-have-become Peleuses
καὶ Ἀγχῖσαι καὶ Ὠρίωνες καὶ Ἡμαθίωνες, οὐ πάντως
and Anchiseses and Orions and Emathions not altogether
ἀγαπητῶς οὐδ' ἀλύπως διεβίωσαν. ἀλλὰ Νομᾶς ἔοικε
contentedly nor painlessly lived but Numa seems
τὴν ἀγαθὴν Τύχην ἔχειν ὡς ἀληθῶς σύνοικον καὶ
the good Fortune to-have as truly a-housemate and
σύνεδρον καὶ συνάρχουσαν ἥ καθάπερ ἐν κλύδωνι
assessor and colleague who as in a-surge
θολερῷ καὶ τεταραγμένῳ πελάγει τῇ τῶν προσοίκων
muddy and troubled on-a-sea by-the of-the neighbors
καὶ γειτόνων ἔχθρᾳ καὶ χαλεπότητι, τὴν πόλιν φερομένην
and borderers enmity and harshness the city being-borne
καὶ φλεγμαίνουσαν ὑπὸ μυρίων πόνων καὶ διχοστασιῶν
and inflamed by countless toils and dissensions
παραλαβοῦσα τοὺς μὲν ἀντιτεταγμένους θυμοὺς καὶ
having-taken-over the indeed opposed angers and
φθόνους ὥσπερ πνεύματα κατέσβεσεν· οἷα δέ φασι
envies as winds quenched such-as and they-say
τὰς ἀλκυόνων λοχείας παραδεξαμένην τὴν θάλατταν ἐν
the of-halcyons broods having-received the sea in
χειμῶνι σῴζειν καὶ συνεκτιθηνεῖσθαι, τοιαύτην ἀναχεαμένη
winter to-save and to-help-nurse such having-poured-forth
καὶ περιστήσασα γαλήνην πραγμάτων ἀπόλεμον καὶ
and having-spread calm of-affairs warless and
ἄνοσον καὶ ἀκίνδυνον καὶ ἄφοβον, νεοσταθεῖ δήμῳ
diseaseless and dangerless and fearless to-a-newly-established people

καὶ κραδαινομένῳ παρέσχε ῥιζῶσαι καὶ καταστῆσαι τὴν
and quivering she-granted to-take-root and to-settle the
πόλιν, αὐξανομένην ἐν ἡσυχίᾳ βεβαίως καὶ ἀνεμποδίστως.
city growing in quiet securely and unhindered
ὥσπερ γὰρ ὁλκὰς ἢ τριήρης ναυπηγεῖται μὲν ὑπὸ
as for a-merchantman or trireme is-built indeed by
πληγῶν καὶ βίας πολλῆς, σφύραις καὶ ἥλοις ἀρασσομένη
blows and force much with-hammers and nails being-beaten
καὶ γομφώμασι καὶ πρίοσι καὶ πελέκεσι, γενομένην δὲ
and with-bolts and saws and axes having-been-made but
στῆναι δεῖ καὶ παγῆναι σύμμετρον χρόνον, ἕως οἵ
to-stand it-is-needful and to-set proportionate time until the
τε δεσμοὶ κάτοχοι γένωνται καὶ συνήθειαν οἱ γόμφοι
both bonds firm become and familiarity the bolts
λάβωσιν· ἐὰν δὲ ὑγροῖς ἔτι καὶ περιολισθάνουσι τοῖς
take if but with-moist still and slipping the
ἁρμοῖς κατασπασθῇ, πάντα χαλάσει διατιναχθέντα καὶ
joints it-be-launched all will-loosen shaken-apart and
δέξεται τὴν θάλατταν· οὕτω τὴν Ῥώμην ὁ μὲν πρῶτος
will-take-in the sea so — Rome the indeed first
ἄρχων καὶ δημιουργὸς ἐξ ἀγρίων καὶ βοτήρων ὥσπερ
ruler and craftsman from rustics and herdsmen as
ἐκ δρυόχων κραταιῶν συνιστάμενος, οὐκ ὀλίγους πόνους
from keels stout constructing not few toils
ἔσχεν οὐδὲ μικροῖς ἀντήρεισε πολέμοις καὶ κινδύνοις ἐξ
had nor small set-himself-against wars and dangers of
ἀνάγκης ἀμυνόμενος τοὺς ἀνθισταμένους πρὸς τὴν γένεσιν
necessity warding-off those opposing to the birth
καὶ ἵδρυσιν αὐτῆς· ὁ δὲ δεύτερος παραλαβὼν χρόνον
and founding of-her the and second having-received time
παρέσχε πῆξαι καὶ βεβαιῶσαι τὴν αὔξησιν τῇ εὐτυχίᾳ,
granted to-set and to-confirm the growth with-the good-fortune

ἐπιλαβόμενος πολλῆς μὲν εἰρήνης πολλῆς δ' ἡσυχίας.
having-gained much indeed peace much and quiet
εἰ δὲ τότε Πορσίνας τις ἐπέβρισε Τυρρηνικὸν χάρακα
if but then Porsena some had-pressed-on a-Tyrrhenian palisade
καὶ στρατόπεδον παραστήσας τείχεσιν ὑγροῖς ἔτι καὶ
and camp having-set-beside walls moist still and
κραδαινομένοις ἤ τις ἐκ Μαρσῶν ἀποστὰς ἀρειμάνιος
quivering or some from Marsi having-revolted warlike
δυνάστης ἢ Λευκανὸς ὑπὸ φθόνου καὶ φιλονεικίας,
ruler or Lucanian from envy and contentiousness
ἀνὴρ δύσερις καὶ πολεμοποιός, οἷος ὕστερον Μουτίλος
a-man quarrelsome and war-making such-as later Mutilus
ἢ Σίλων ὁ θρασὺς ἢ τὸ ἔσχατον Σύλλα πάλαισμα
or Silo the bold or the last of-Sulla wrestling-bout
Τελεσῖνος, ὡς ἀφ' ἑνὸς συνθήματος ὅλην ἐξοπλίζων τὴν
Telesinus as from one signal whole arming —
Ἰταλίαν, τὸν φιλόσοφον Νομᾶν περιεσάλπιζε θύοντα
Italy the philosopher Numa had-trumpeted-around sacrificing
καὶ προσευχόμενον, οὐκ ἂν ἀντέσχον αἱ πρῶται τῆς
and praying not — would-have-held-out the first of-the
πόλεως ἀρχαὶ πρὸς σάλον καὶ κλύδωνα τοσοῦτον οὐδ' εἰς
city beginnings against tossing and surge so-great nor to
εὐανδρίαν καὶ πλῆθος ἐπέδωκαν· νῦν δ' ἔοικε τῆς πρὸς
manpower and multitude would-have-grown now but seems the for
τοὺς ὕστερον πολέμους παρασκευῆς ἐφόδιον Ῥωμαίοις
the later wars preparation provision for-Romans
ἡ τότ' εἰρήνη γενέσθαι, καὶ καθάπερ ἀθλητὴς ὁ δῆμος
the then peace to-have-been and as an-athlete the people
ἐκ τῶν κατὰ Ῥωμύλον ἀγώνων ἐν ἡσυχίᾳ χρόνον
from the in-the-time-of Romulus contests in quiet for-a-time
ἐτῶν τριῶν καὶ τετταράκοντα σωμασκήσας τὴν δύναμιν
of-years three and forty having-trained the power

ἀξιόμαχον καταστῆσαι τοῖς ὕστερον ἀντιταττομένοις. οὐδὲ
a-match to-have-made for-those later opposing nor
γὰρ λιμὸν οὐδὲ λοιμὸν οὐδ᾽ ἀφορίαν γῆς οὐδ᾽ ἀωρίαν
for famine nor plague nor barrenness of-earth nor untimeliness
τινὸς θέρους ἢ χειμῶνος ἐν τῷ τότε χρόνῳ παραλυπῆσαι
of-some summer or winter in the then time to-have-troubled
τὴν Ῥώμην λέγουσιν, ὡς οὐκ ἀνθρωπίνης εὐβουλίας ἀλλὰ
— Rome they-say as not of-human good-counsel but
θείας Τύχης ἐπιτροπευούσης τῶν καιρῶν ἐκείνων. ἐκλείσθη
of-divine Fortune being-guardian of-the times those was-shut
δ᾽ οὖν τότε καὶ τὸ τοῦ Ἰανοῦ δίπυλον, ὃ πολέμου πύλην
and then then also the — of-Janus double-gate which of-war gate
καλοῦσιν· ἀνέῳγε μὲν γάρ, ὅταν ᾖ πόλεμος, κλείεται
they-call it-is-open indeed for whenever there-be war it-is-shut
δ᾽ εἰρήνης γενομένης. Νομᾶ δ᾽ ἀποθανόντος ἀνεῴχθη, τοῦ
and peace having-come Numa but having-died it-was-opened the
πρὸς Ἀλβανοὺς πολέμου συρραγέντος. εἶτα μυρίων ἄλλων
against Albans war having-broken-out then countless others
συνεχῶς ὑπολαμβανόντων, πάλιν δι᾽ ἐτῶν ὀγδοήκοντα
continuously succeeding again after years eighty
καὶ τετρακοσίων ἐκλείσθη μετὰ τὸν πρὸς Καρχηδονίους
and four-hundred it-was-shut after the against Carthaginians
πόλεμον εἰρήνης γενομένης, Γαΐου Ἀτιλίου καὶ Τίτου
war peace having-been-made Gaius Atilius and Titus
Μαλλίου ὑπάτων. μετὰ δὲ τοῦτον τὸν ἐνιαυτὸν αὖθις
Manlius consuls after but this the year again
ἀνεῴχθη καὶ διέμειναν οἱ πόλεμοι μέχρι τῆς ἐν Ἀκτίῳ
it-was-opened and continued the wars until the at Actium
νίκης Καίσαρος· τότε δ᾽ ἤργησε τὰ Ῥωμαίων ὅπλα χρόνον
victory of-Caesar then but were-idle the of-Romans arms time
οὐ πολύν· αἱ γὰρ ἀπὸ Καντάβρων ταραχαὶ καὶ Γαλατίαι
not long the for from Cantabri disturbances and Gauls

συρραγεῖσαι Γερμανοῖς, συνετάραξαν τὴν εἰρήνην. ἀλλὰ
having-broken-out with-Germans confounded the peace but
ταῦτα μὲν εὐτυχίας τῆς Νομᾶ προσιστόρηται μαρτύρια.
these-things indeed of-good-fortune the of-Numa are-recorded-besides testimonies
τὴν δὲ Τύχην καὶ οἱ μετ᾽ ἐκεῖνον ἐθαύμασαν βασιλεῖς 10
— and Fortune also those after him admired kings
ὡς πρωτόπολιν καὶ τιθηνὸν καὶ "φερέπολιν" τῆς Ῥώμης
as first-of-the-city and nurse and city-bearer — of-Rome
ἀληθῶς κατὰ Πίνδαρον. Σέρβιος δὲ Τύλλιος, ἀνὴρ
truly according-to Pindar Servius and Tullius a-man
τῶν βασιλέων μάλιστα καὶ τὴν δύναμιν αὐξήσας τοῦ
of-the kings most both the power having-increased of-the
δήμου καὶ τὸ πολίτευμα κοσμήσας καὶ τάξιν μὲν ἐπιθεὶς
people and the polity having-ordered and order indeed having-set
ταῖς ψηφοφορίαις, τάξιν δὲ ταῖς στρατείαις, τιμητὴς δὲ
on-the votings order and on-the campaigns censor and
πρῶτος καὶ βίων ἐπίσκοπος καὶ σωφροσύνης γενόμενος καὶ
first and of-lives overseer and of-self-control having-become and
δοκῶν ἀνδρειότατος εἶναι καὶ φρονιμώτατος, αὐτὸς ἑαυτὸν
seeming most-manly to-be and most-prudent he-himself himself
εἰς τὴν Τύχην ἀνῆπτε καὶ ἀνεδεῖτο τὴν ἡγεμονίαν ἐξ
to — Fortune fastened and attached the supremacy from
ἐκείνης· ὥστε καὶ συνεῖναι δοκεῖν αὐτῷ τὴν Τύχην διά
her so-that also to-consort to-seem with-him — Fortune through
τινος θυρίδος καταβαίνουσαν εἰς τὸ δωμάτιον, ὃ νῦν
some window coming-down into the chamber which now
Φενεστέλλαν πύλην καλοῦσιν. ἱδρύσατο δ᾽ οὖν Τύχης ἱερὸν
Fenestella gate they-call he-founded and then of-Fortune a-temple
ἐν μὲν Καπετωλίῳ τὸ τῆς Πριμιγενείας λεγομένης, ὃ
on indeed Capitol the — of-Primigenia called which
πρωτογόνου τις ἂν ἑρμηνεύσειε καὶ τὸ τῆς Ὀψεκουέντις,
first-born one — would-translate and the — of-Obsequens

ἣν οἱ μὲν πειθήνιον οἱ δὲ μειλίχιον εἶναι νομίζουσι.
which some indeed obedient others and gentle to-be think
μᾶλλον δὲ τὰς Ῥωμαϊκὰς ἐάσας ὀνομασίας Ἑλληνιστὶ
rather but the Roman having-let-go names in-Greek
τὰς δυνάμεις τῶν ἱδρυμάτων πειράσομαι καταριθμήσασθαι.
the powers of-the shrines I-shall-try to-enumerate
καὶ γὰρ ἰδίας Τύχης ἱερόν ἐστιν ἐν Παλατίῳ, καὶ τὸ
and for of-private Fortune a-temple is on Palatine and the
τῆς ἰξευτρίας, εἰ καὶ γελοῖον, ἀλλ' ἔχον ἐκ μεταφορᾶς
of-the bird-catcher if even absurd but having by metaphor
ἀναθεώρησιν, οἷον ἑλκούσης τὰ πόρρω καὶ κρατούσης
reflection as-it-were drawing the-things far-off and holding-fast
συμπροσισχόμενα. παρὰ δὲ τὴν Μουσκῶσαν καλουμένην
attached by and the Mossy called
κρήνην ἔτι παρθένου Τύχης ἱερόν ἐστι καὶ ἐν Αἰσκυλίαις
spring still of-virgin of-Fortune a-temple is and on Esquiline
ἐπιστρεφομένης· ἐν δὲ τῷ μακρῷ στενωπῷ Τύχης
of-(the)-turning in and the long alley of-Fortune
βωμὸς εὐέλπιδος· ἔστι δὲ καὶ παρὰ τὸν τῆς Ἀφροδίτης
an-altar of-good-hope there-is and also by the — of-Aphrodite
ἐπιταλαρίου βωμὸν ἄρρενος Τύχης ἕδος. ἄλλαι τε μυρίαι
of-the-basket altar of-male Fortune a-seat others and countless
Τύχης τιμαὶ καὶ ἐπικλήσεις, ὧν τὰς πλείστας Σερούιος
of-Fortune honors and titles of-which the most Servius
κατέστησεν, εἰδὼς ὅτι μεγάλη ῥοπὴ μᾶλλον δ' ὅλον ἡ
established knowing that great influence rather but the-whole —
Τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα,
Fortune in all is the-things of-the human affairs
καὶ μάλιστά γ' αὐτοῦ δι' εὐτυχίαν ἐξ αἰχμαλώτου
and most at-least of-himself through good-fortune from captive
καὶ πολεμίου γένους εἰς βασιλείαν προαχθέντος. τοῦ γὰρ
and enemy race to kingship having-been-advanced of-the for

Κορνικλάνων ἄστεος ἁλόντος ὑπὸ Ῥωμαίων, Ὀκρησία
of-Corniculani town having-been-taken by Romans Ocresia
παρθένος αἰχμάλωτος, ἧς οὐδὲ τὴν ὄψιν οὐδὲ τὸν
a-virgin captive whose neither the appearance nor the
τρόπον ἠμαύρωσεν ἡ Τύχη, δοθεῖσα Τανακυλλίδι τῇ
character dimmed — Fortune having-been-given to-Tanaquil the
Ταρκυνίου γυναικὶ τοῦ βασιλέως ἐδούλευσε· καὶ πελάτης τις
of-Tarquinius wife the king was-a-slave and a-dependent some
εἶχεν αὐτήν, οὓς κλιέντης Ῥωμαῖοι καλοῦσιν· ἐκ τούτων
had her whom clients Romans call from these
ἐγεγόνει Σερούιος. οἱ δ' οὔ φασιν, ἀλλὰ παρθένον τὴν
had-been-born Servius others and not say but virgin —
Ὀκρησίαν ἀπάργματα καὶ λοιβὴν ἑκάστοτε λαμβάνουσαν
Ocresia first-fruits and libation each-time taking
ἀπὸ τῆς βασιλικῆς τραπέζης ἐπὶ τὴν ἑστίαν κομίζειν καί
from the royal table to the hearth to-carry and
ποτε τυχεῖν μὲν αὐτήν, ὥσπερ εἰώθει, τῷ
once to-have-happened indeed her as she-was-accustomed on-the
πυρὶ τὰς ἀπαρχὰς ἐπιβάλλουσαν, αἰφνίδιον δὲ τῆς φλογὸς
fire the first-offerings throwing suddenly and the flame
μαρανθείσης μόριον ἀνδρὸς ἀνατεῖναι γόνιμον ἐκ τῆς
having-died-down a-member of-a-man to-have-risen generative from the
ἑστίας, καὶ τοῦτο τὴν κόρην τῇ Τανακυλλίδι φράσαι μόνῃ
hearth and this the girl — to-Tanaquil to-have-told alone
περίφοβον γενομένην. τὴν δὲ συνετὴν οὖσαν καὶ φρενήρη
terrified having-become she and intelligent being and sensible
κοσμῆσαί τε τὴν κόρην ὅσα νύμφαις πρέπει καὶ
to-have-adorned both the girl as-much-as to-brides befits and
συγκαθεῖρξαι τῷ φάσματι, θεῖον ἡγουμένην. οἱ μὲν ἥρωος
to-have-shut-in-with the apparition divine thinking-it some indeed of-a-hero
οἰκουροῦ λέγουσιν, οἱ δ' Ἡφαίστου τὸν ἔρωτα τοῦτον
household-guarding say others and of-Hephaestus the love this

γενέσθαι. τίκτεται δ' οὖν Σερούιος, καὶ βρέφους ὄντος
to-have-been is-born and then Servius and an-infant being
ἡ κεφαλὴ σέλας ἀστραπῇ παραπλήσιον ἀπήστραψεν. οἱ
the head a-flash to-lightning like flashed-forth those
δὲ περὶ Ἀντίαν οὐχ οὕτω λέγουσιν, ἀλλὰ τυχεῖν μὲν
but about Antias not thus say but to-have-happened indeed
τῷ Σερουίῳ τὴν γυναῖκα Γεγανίαν θνήσκουσαν, αὐτὸν
— to-Servius the wife Gegania dying himself
δὲ τῆς μητρὸς παρούσης εἰς ὕπνον ἐκ δυσθυμίας καὶ
and the mother being-present into sleep from despondency and
λύπης ἀποκλιθῆναι· καὶ καθεύδοντος αὐτοῦ ταῖς γυναιξὶν
grief to-have-sunk and sleeping him to-the women
ὀφθῆναι τὸ πρόσωπον αὐτοῦ πυρὶ περιλαμπόμενον·
to-have-been-seen the face his with-fire shining-around
ὅπερ ἦν μαρτύριον αὐτῷ τῆς ἐκ πυρὸς γενέσεως, σημεῖον
which was a-testimony to-him of-the from fire birth a-sign
δὲ χρηστὸν ἐπὶ τὴν ἀπροσδόκητον ἡγεμονίαν, ἧς ἔτυχε
and good for the unexpected supremacy which he-obtained
μετὰ τὴν Ταρκυνίου τελευτήν, Τανακυλλίδος σπουδασάσης.
after the of-Tarquinius death Tanaquil having-been-zealous
ἐπεὶ πάντων γε τῶν βασιλέων πρὸς μοναρχίαν οὗτος
since of-all at-least the kings for monarchy this-one
ἀφυέστατος δοκεῖ γενέσθαι καὶ ἀπροθυμότατος, ὅς γε
least-suited seems to-have-been and least-eager who at-least
τὴν βασιλείαν ἀποθέσθαι διανοηθεὶς ἐκωλύθη· τελευτῶσα
the kingship to-lay-down having-intended was-prevented dying
γὰρ ὡς ἔοικεν ἐξώρκωσε τοῦτον ἐμμεῖναι τῇ ἀρχῇ καὶ
for as it-seems she-adjured this-one to-abide-in the rule and
μὴ προέσθαι τὴν πάτριον Ῥωμαίων πολιτείαν. οὕτως ἡ
not to-give-up the ancestral of-Romans constitution so the

Σερουίου βασιλεία παντάπασι τῆς Τύχης, ἣν ἔλαβέ τε
of-Servius kingship altogether — of-Fortune which he-received both
μὴ προσδοκήσας καὶ μὴ βουλόμενος διεφύλαξεν.
not having-expected and not wishing he-kept
ἀλλ' ἵνα μὴ δοκῶμεν ὥσπερ εἰς τόπον ἀμαυρὸν τὸν 11
but so-that not we-may-seem as into a-place dim the
παλαιὸν χρόνον ἐκ τῶν λαμπρῶν καὶ ἐναργῶν τεκμηρίων
ancient time from the bright and clear proofs
φεύγειν καὶ ὑποχωρεῖν, φέρε τοὺς βασιλεῖς ἐάσαντες ἐπὶ τὰς
to-flee and to-withdraw come the kings having-left to the
γνωριμωτάτας πράξεις καὶ τοὺς ἐπιφανεστάτους πολέμους
best-known deeds and the most-conspicuous wars
τὸν λόγον μεταγάγωμεν. οἷς πολλὴν τόλμαν καὶ ἀνδρείαν
the discourse let-us-transfer in-which much daring and courage
"αἰδῶ τε συνεργὸν ἀρετᾶς δοριμάχου" ὥς φησιν Τιμόθεος,
modesty and fellow-worker of-virtue spear-fighting as says Timotheus
τίς οὐκ ἂν ὁμολογήσειεν; ἡ δ' εὔροια τῶν πραγμάτων
who not — would-agree the but smooth-flow of-the affairs
καὶ τὸ ῥόθιον τῆς εἰς τοσαύτην δύναμιν καὶ αὔξησιν ὁρμῆς,
and the rushing of-the to so-great power and growth impetus
οὐ χερσὶν ἀνθρώπων οὐδ' ὁρμαῖς προχωροῦσαν ἡγεμονίαν,
not by-hands of-men nor by-impulses advancing supremacy
θείᾳ δὲ πομπῇ καὶ πνεύματι Τύχης ἐπιταχυνομένην,
by-divine but escort and wind of-Fortune hastened
ἐπιδείκνυται τοῖς ὀρθῶς λογιζομένοις. τρόπαια τροπαίοις
shows to-those rightly reckoning trophies on-trophies
ἐπανίσταται καὶ θριάμβοι θριάμβοις ἀπαντῶσι, καὶ τὸ
rise-up and triumphs triumphs meet and the
πρῶτον αἷμα τῶν ὅπλων ἔτι θερμὸν ἀποκλύζεται τῷ
first blood of-the arms still warm is-washed-away by-the
δευτέρῳ καταλαμβανόμενον. τὰς δὲ νίκας ἀριθμοῦσιν οὐ
second overtaken the and victories they-count not

νεκρῶν πλήθει καὶ λαφύρων, ἀλλὰ βασιλείαις αἰχμαλώτοις
of-corpses by-number and of-spoils but by-kingdoms captured
καὶ δεδουλωμένοις ἔθνεσι καὶ νήσοις καὶ ἠπείροις
and enslaved nations and islands and continents
προσοριζομέναις τῷ μεγέθει τῆς ἡγεμονίας. μιᾷ μάχῃ
added-to-the-bounds by-the greatness of-the supremacy in-one battle
Φίλιππος ἀπέβαλε Μακεδονίαν, μιᾷ πληγῇ παρεχώρησεν
Philip lost Macedonia with-one blow gave-up
Ἀντίοχος Ἀσίας, ἅπαξ Καρχηδόνιοι σφαλέντες ἀπώλεσαν
Antiochus Asia once Carthaginians having-been-tripped lost
Λιβύην. εἷς ἀνὴρ μιᾶς ὁρμῇ στρατιᾶς Ἀρμενίαν
Libya one man with-one impetus of-an-army Armenia
προσεκτήσατο Πόντον Εὔξεινον Συρίαν Ἀραβίαν Ἀλβανοὺς
won Pontus Euxine Syria Arabia Albanians
Ἴβηρας τὰ μέχρι Καυκάσου καὶ Ὑρκανῶν· καὶ τρὶς
Iberians the-parts up-to Caucasus and Hyrcanians and three-times
αὐτὸν ὁ περιρρέων τὴν οἰκουμένην Ὠκεανὸς εἶδε νικῶντα.
him the flowing-around the inhabited-world Ocean saw conquering
Νομάδας μὲν ἐν Λιβύῃ μέχρι τῶν μεσημβρινῶν ἀνέκοψεν
Numidians indeed in Libya up-to the southern he-drove-back
ἠιόνων, Ἰβηρίαν δὲ Σερτωρίῳ συννοσήσασαν ἄχρι τῆς
shores Iberia and with-Sertorius having-been-sick-together up-to the
Ἀτλαντικῆς κατεστρέψατο θαλάσσης· τοὺς δ' Ἀλβανῶν
Atlantic he-subdued sea the and of-Albanians
βασιλεῖς διωκομένους περὶ τὸ Κάσπιον πέλαγος ἔστησε.
kings being-pursued about the Caspian sea he-stopped
ταῦτα πάντα κατώρθωσε δημοσίᾳ τύχῃ χρώμενος, εἶθ' ὑπὸ
these-things all he-achieved public fortune using then by
τῆς ἰδίας ἀνετράπη μοίρας. ὁ δὲ Ῥωμαίων μέγας δαίμων
the private was-overturned fate the but of-Romans great genius
οὐκ ἐφήμερος πνεύσας οὐδὲ καιρὸν ἀκμάσας βραχὺν
not for-a-day having-blown nor a-season having-flourished brief

ὡς ὁ Μακεδόνων, οὐδὲ χερσαῖος μόνον ὡς ὁ Λακώνων
as the of-Macedonians nor of-land only as the of-Laconians
οὐδ' ἐνάλιος ὡς ὁ Ἀθηναίων, οὐδ' ὀψὲ κινηθεὶς ὡς ὁ
nor of-the-sea as the of-Athenians nor late moved as the
Περσῶν, οὐδὲ ταχὺ παυσάμενος ὡς ὁ Κολοφωνίων· ἀλλ'
of-Persians nor quickly having-stopped as the of-Colophonians but
ἄνωθεν ἐκ πρώτων γενέσεων τῇ πόλει συνηβήσας
from-the-start from first births with-the city having-grown-up-with
καὶ συναυξηθεὶς καὶ συμπολιτευσάμενος, καὶ παραμείνας
and increased-with and governed-with and having-remained
βέβαιος ἐν γῇ καὶ θαλάττῃ καὶ πολέμοις καὶ εἰρήνῃ
steadfast on land and sea and in-wars and peace
καὶ πρὸς βαρβάρους καὶ πρὸς Ἕλληνας. οὗτος Ἀννίβαν
and against barbarians and against Greeks this-one Hannibal
τὸν Καρχηδόνιον, φθόνῳ καὶ ταῖς πολιτικαῖς ἔχθραις
the Carthaginian by-envy and by-the political enmities
μηδενὸς οἴκοθεν ἐπιρρέοντος, ὥσπερ χείμαρρον ἐξέχεε
no-one from-home flowing-in as a-torrent poured-out
καὶ κατανάλωσε περὶ τὴν Ἰταλίαν. οὗτος τὸ Κίμβρων
and used-up about — Italy this-one the of-Cimbri
καὶ τὸ Τευτόνων στράτευμα μεγάλοις διαστήμασι τόπων
and the of-Teutons army by-great intervals of-places
καὶ χρόνων ἐχώρισε καὶ διέσπασεν, ἵν' ἀρκέσῃ Μάριος
and times separated and divided so-that might-suffice Marius
ἑκατέροις ἀνὰ μέρος μαχόμενος, καὶ μὴ συμπεσοῦσαι
for-each in turn fighting and not having-joined
τριάκοντα μυριάδες ἀνδρῶν ἀηττήτων καὶ ἀμάχων ὅπλων
thirty ten-thousands of-men unconquered and irresistible arms
ὁμοῦ κατακλύσωσι τὴν Ἰταλίαν. διὰ τοῦτον Ἀντίοχος
together might-inundate — Italy through this-one Antiochus
μὲν ἠσχολεῖτο, πολεμουμένου Φιλίππου, Φίλιππος δέ,
indeed was-occupied being-warred-against Philip Philip and

κινδυνεύοντος Ἀντιόχου, προηττημένος ἔπιπτε· Μιθριδάτην
being-in-danger Antiochus having-been-defeated-before fell Mithridates
δέ, τοῦ Μαρσικοῦ πολέμου τὴν Ῥώμην ἐπιφλέγοντος, οἱ
and the Marsic war — Rome inflaming the
Σαρματικοὶ καὶ Βασταρνικοὶ πόλεμοι κατεῖχον· Τιγράνην
Sarmatian and Bastarnian wars held-back Tigranes
δὲ Μιθριδάτου λαμπροῦ μὲν ὄντος ὑπόνοια καὶ φθόνος
and Mithridates brilliant indeed being suspicion and envy
ἐχώριζεν, ἡττωμένῳ δ' ἀνέμιξεν ἑαυτὸν συναπολέσθαι.
separated defeated but he-joined himself to-perish-with
12 τί δ' οὐχὶ καὶ περὶ τὰς μεγίστας συμφορὰς ὤρθου
why and not also in the greatest calamities did-set-upright
τὴν πόλιν ἡ Τύχη; Κελτῶν μὲν περὶ τὸ Καπετώλιον
the city — Fortune of-Celts indeed about — Capitol
στρατοπεδευόντων καὶ πολιορκούντων τὴν ἀκρόπολιν,
encamping and besieging the citadel

νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί·
a-plague through the-army she-raised evil were-perishing and the-people

τὴν δὲ νυκτερινὴν ἔφοδον αὐτῶν, λεληθότων πάντας
the and nocturnal attack of-them having-escaped-notice all
ἀνθρώπους, ἡ Τύχη καὶ ταὐτόματον ἔκπυστον ἐποίησε
men — Fortune and the-spontaneous discovered made
γενέσθαι. περὶ ἧς κἀν βραχεῖ πλείω διελθεῖν ἴσως
to-become about which even-in brief more to-go-through perhaps
οὐκ ἄκαιρόν ἐστι. μετὰ τὴν ἐπ' Ἀλλίᾳ ποταμῷ Ῥωμαίων
not untimely is after the at Allia river of-Romans
μεγάλην ἧτταν οἱ μὲν εἰς Ῥώμην κατάραντες ἀπὸ τῆς
great defeat the-ones indeed into Rome having-come-down from the
φυγῆς ταραχῆς συναναπλήσαντες τὸν δῆμον ἐξεπόησαν καὶ
flight with-disorder having-filled the people terrified and

διεσκέδασαν, ὀλίγων εἰς τὸ Καπετώλιον ἀνασκευασαμένων
scattered few into — Capitol having-withdrawn
καὶ διακαρτερούντων. οἱ δ' εὐθὺς ἀπὸ τῆς τροπῆς
and holding-out the-others and at-once from the rout
εἰς Βηίους συναθροισθέντες ᾑροῦντο δικτάτωρα Φούριον
at Veii gathered chose dictator Furius
Κάμιλλον, ὃν εὐτυχῶν μὲν καὶ ὑψαυχενῶν ὁ δῆμος
Camillus whom prospering indeed and holding-his-neck-high the people
ἀπεσείσατο καὶ κατέβαλε, δίκῃ περιπεσόντα δημοσίων
shook-off and threw-down to-a-suit having-fallen-into of-public
κλοπῶν· πτήξας δὲ καὶ ταπεινωθεὶς ἀνεκαλεῖτο μετὰ τὴν
thefts having-cowered but and humbled it-recalled after the
ἧτταν, ἐγχειρίζων καὶ παραδιδοὺς ἀνυπεύθυνον ἡγεμονίαν.
defeat entrusting and handing-over unaccountable command
ἵν' οὖν μὴ καιρῷ δοκῇ νόμῳ δὲ λαμβάνειν ὁ ἀνήρ,
so-that then not by-occasion he-might-seem by-law but to-take the man
μηδ' ὡς ἀπεγνωκὼς τὴν πόλιν ὅπλοις ἀρχαιρεσιάζῃ τὰ
nor as having-despaired-of the city by-arms he-hold-election the
τοῦ στρατοῦ σποράδος καὶ πλάνητος, ἔδει τοὺς ἐν
of-the army scattered and wandering it-was-needful those in
Καπετωλίῳ βουλευτὰς ἐπιψηφίσασθαι τὴν τῶν στρατιωτῶν
Capitol senators to-vote the of-the soldiers
γνώμην μαθόντας, ἦν οὖν Γάιος Πόντιος ἀνὴρ ἀγαθός,
resolution having-learned was then Gaius Pontius a-man good
καὶ τῶν δεδογμένων αὐτάγγελος ὑποστὰς ἔσεσθαι τοῖς
and of-the resolutions his-own-messenger having-undertaken to-be to-those
ἐν Καπετωλίῳ μέγαν ἀνεδέξατο κίνδυνον· ἡ γὰρ ὁδὸς
in Capitol great took-on danger the for road
ἦν διὰ τῶν πολεμίων κύκλῳ φυλακαῖς καὶ χάραξι
was through the enemies in-a-circle with-guards and palisades
τὴν ἄκραν περιεχόντων. ὡς οὖν ἐπὶ τὸν ποταμὸν ἦλθε
the height surrounding when then to the river he-came

νύκτωρ, φελλοὺς πλατεῖς ὑποστερνισάμενος καὶ τὸ σῶμα
by-night corks broad having-strapped-under-his-chest and the body
τῇ κουφότητι τοῦ ὀχήματος παραθέμενος ἀφῆκε τῷ
to-the lightness of-the vehicle having-entrusted he-let-go to-the
ῥόῳ· τυχὼν δὲ πράου καὶ σχολαίως ὑποφέροντος ἥψατο
stream having-met and gentle and leisurely carrying-down he-touched
τῆς ἀντιπέρας ὄχθης ἀσφαλῶς, καὶ ἀποβὰς ἐχώρει πρὸς
the opposite bank safely and having-landed went toward
τὸ τῶν φώτων διάκενον, τῷ τε σκότει καὶ τῇ σιωπῇ
the of-the lights empty-space by-the both darkness and the silence
τὴν ἐρημίαν τεκμαιρόμενος· ἐμφὺς δὲ τῷ κρημνῷ, καὶ
the solitude judging having-clung and to-the cliff and
ταῖς δεχομέναις τὴν ἐπίβασιν καὶ παρεχούσαις ἀντίληψιν
to-the receiving the foothold and affording a-handhold
ἐγκλίσεσι καὶ περιαγωγαῖς καὶ τραχύτησι τῆς πέτρας
to-slopes and windings and ruggednesses of-the rock
παραδιδοὺς ἑαυτὸν καὶ ἐπερεισάμενος ἐξίκετο πρὸς τὸ
entrusting himself and pressing-on he-reached to the
ἀντιπέρας καὶ ἀναληφθεὶς ὑπὸ τῶν προφυλάκων ἐδήλωσε
opposite and having-been-taken-up by the outposts he-showed
τοῖς ἔσω τὰ δεδογμένα· καὶ λαβὼν τὸ ψήφισμα πάλιν
to-those within the resolutions and having-taken the decree again
ᾤχετο πρὸς τὸν Κάμιλλον. ἡμέρας δὲ τῶν βαρβάρων
went to — Camillus by-day and of-the barbarians
τις ἄλλως τὸν τόπον περιιὼν ὡς εἶδε τοῦτο μὲν ἴχνη
one otherwise the place going-around when he-saw this indeed prints
ποδῶν ἀκρώνυχα καὶ περιολισθήσεις, τοῦτο δ' ἀποτριβὰς
of-feet on-tiptoe and slippings this and rubbings
καὶ περικλάσεις τῆς ἐπιβλαστανούσης τοῖς γεώδεσι πόας
and breakings of-the growing-on on-the earthy-parts grass
ὁλκούς τε σώματος πλαγίους καὶ ἀπερείσεις, ἔφραζε τοῖς
trails and of-body slanting and pressings he-told to-the

ἄλλοις. οἱ δὲ δείκνυσθαι τὴν ὁδὸν αὑτοῖς ὑπὸ τῶν
others they and to-be-shown the road to-themselves by the
πολεμίων νομίζοντες ἐπεχείρουν ἁμιλλᾶσθαι, καὶ τῆς νυκτὸς
enemies thinking attempted to-vie and of-the night
τὸ ἐρημότατον διαφυλάξαντες ἀνέβησαν λαθόντες οὐ
the most-deserted having-watched-for they-climbed having-escaped-notice-of not
μόνον τοὺς φύλακας, ἀλλὰ καὶ τοὺς συνεργοὺς καὶ τοὺς
only the guards but also the helpers and the
προκοίτους τῆς φρουρᾶς κύνας ὕπνῳ κρατηθέντας. οὐ
sleeping-before of-the garrison dogs by-sleep overpowered not
μὴν ἠπόρησεν ἡ τῆς Ῥώμης Τύχη φωνῆς κακὸν τοσοῦτο
indeed was-at-a-loss the — of-Rome Fortune for-a-voice an-evil so-great
μηνῦσαι καὶ φράσαι δυναμένης. χῆνες ἱεροὶ περὶ τὸν νεὼν
to-reveal and to-tell able geese sacred about the temple
τῆς Ἥρας ἐτρέφοντο θεραπεύοντες τὴν θεόν. φύσει μὲν
— of-Hera were-kept serving the goddess by-nature indeed
οὖν τὸ ζῷον εὐθορύβητόν ἐστι καὶ ψοφοδεές· τότε δέ,
then the animal easily-alarmed is and timid then and
συντόνου περὶ τοὺς ἔνδον οὔσης ἀπορίας ἀμελουμένων
intense among those within being want neglected
αὐτῶν, λεπτὸς ἦν καὶ λιμώδης ὁ ὕπνος, ὥστ' εὐθὺς
them light was and hungry the sleep so-that at-once
ᾔσθοντο τῶν πολεμίων ὑπερφανέντων τῆς στεφάνης
they-perceived the enemies appearing-over the battlement
καὶ καταβοῶντες ἰταμῶς προσεφέροντο, καὶ τῇ τῶν
and screaming boldly rushed-at and by-the of-the
ὅπλων ὄψει μᾶλλον ἐκταραττόμενοι κλαγγῆς διατόρου καὶ
arms sight more being-terrified with-cry piercing and
τραχείας ἐνεπεπλήκεσαν τὸν τόπον· ὑφ' ἧς ἀναστάντες οἱ
harsh had-filled the place by which having-risen the
Ῥωμαῖοι καὶ συμφρονήσαντες τὸ γενόμενον ἐώσαντο καὶ
Romans and having-understood the event pushed-back and

κατεκρήμνισαν τοὺς πολεμίους. πομπεύει νῦν ἐπὶ
hurled-down-the-cliff the enemies is-carried-in-procession now in-memory-of
τῶν τότε συμπτωμάτων κύων μὲν ἀνεσταυρωμένος, χὴν
the then events a-dog indeed crucified a-goose
μάλα σεμνῶς ἐπὶ στρωμνῆς πολυτελοῦς καὶ φορείου
very solemnly on a-couch costly and litter
καθήμενος, ἡ δ' ὄψις ἐπιδείκνυται Τύχης ἰσχὺν καὶ
sitting the and sight shows of-Fortune strength and
πρὸς ἅπαν εὐπορίαν ἐκ τῶν παραλόγων, ὅταν τι
for everything resourcefulness from the unexpected whenever something
πραγματεύηται καὶ στρατηγῇ, νοῦν μὲν ἀλόγοις καὶ
she-manages and she-commands sense indeed in-the-irrational and
ἄφροσιν ἀλκὴν δὲ καὶ θράσος δειλοῖς ἐντιθείσης, τίς γὰρ
witless strength but and boldness in-cowards putting who for
οὐκ ἂν ὡς ἀληθῶς ἐκπλαγείη καὶ θαυμάσειεν, ἐμπαθὴς
not — as truly would-be-astonished and would-admire moved
γενόμενος καὶ λογισμῷ τινι τὴν τότε κατήφειαν καὶ τὴν
having-become and by-reasoning some the then dejection and the
νῦν ὑπάρχουσαν εὐδαιμονίαν τῆς πόλεως περιλαβὼν καὶ
now existing prosperity of-the city having-embraced and
ἀποβλέψας ἄνω λαμπρότητα καὶ πλοῦτον ἀναθημάτων καὶ
having-looked up splendor and wealth of-offerings and
τεχνῶν καὶ φιλοτιμίας πόλεων καὶ στεφάνους βασιλέων,
arts and ambition of-cities and crowns of-kings
καὶ ὅσα γῆ φέρει καὶ θάλαττα καὶ νῆσοι καὶ ἤπειροι
and as-much-as earth bears and sea and islands and continents
καὶ ποταμοὶ καὶ δένδρα καὶ ζῷα καὶ πεδία καὶ ὄρη
and rivers and trees and animals and plains and mountains
καὶ μέταλλα, πάντων ἀπαρχὰς ἐριζούσας εἰς κάλλος ὄψει
and mines of-all first-fruits vying for beauty in-sight
καὶ χάριτι κοσμούσῃ τὸν τόπον, ὡς ταῦτα παρὰ μικρὸν
and grace adorning the place how these-things by little

γενέσθαι μηδ' εἶναι; πυρὶ δὲ καὶ σκότει φοβερῷ καὶ ὄρφνῃ
to-become not to-be by-fire but and darkness fearful and gloom
καὶ ξίφεσι βαρβάροις καὶ μιαιφόνοις θυμοῖς κρατουμένων
and swords barbarian and bloodthirsty passions being-mastered
πάντων, εὐτελῆ καὶ ἄλογα καὶ ἄτολμα θρέμματα σωτηρίας
all cheap and irrational and timid creatures of-safety
ἀρχὴν παρέσχε, καὶ τοὺς μεγάλους ἐκείνους ἀριστεῖς καὶ
a-beginning provided and the great those champions and
ἡγεμόνας Μαλλίους καὶ Σερουίους καὶ Ποστουμίους καὶ
leaders Manlii and Servii and Postumii and
Παπιρίους τῶν αὖθις οἴκων γενάρχας, παρ' οὐδὲν ἥκοντας
Papirii of-the later houses founders by nothing having-come
ἀπολέσθαι, χῆνες ἀνέστησαν ὑπὲρ τοῦ πατρίου θεοῦ καὶ τῆς
to-perish geese raised-up for the ancestral god and the
πατρίδος ἀμύνεσθαι; εἰ δέ, ὥσπερ Πολύβιος ἐν τῇ δευτέρᾳ
fatherland to-defend if but as Polybius in the second
βίβλῳ περὶ τῶν τότε τὴν Ῥωμαίων πόλιν καταλαβόντων
book about the then the of-Romans city having-seized
ἱστόρηκε Κελτῶν, ἀληθές ἐστιν ὅτι προσπεσούσης αὐτοῖς
has-recorded Celts true it-is that having-reached them
ἀγγελίας φθείρεσθαι τὰ οἴκοι, τῶν προσοίκων
news to-be-ruined their-things at-home the neighboring
βαρβάρων ἐμβεβληκότων εἰς τὴν χώραν καὶ κρατούντων,
barbarians having-invaded into the country and conquering
ἀνεχώρησαν εἰρήνην θέμενοι πρὸς τὸν Κάμιλλον, οὐδ'
they-withdrew peace having-made with — Camillus not-even
ἀμφισβήτησις ἔστι πρὸς τὴν Τύχην, ὡς οὐχὶ τῆς σωτηρίας
a-dispute is against — Fortune that not of-the safety
αἰτία κατέστη περισπάσασα τοὺς πολεμίους, μᾶλλον δ'
the-cause she-became having-drawn-off the enemies rather but
ἀποσπάσασα τῆς Ῥώμης ἀπροσδοκήτως.
having-torn-away — from-Rome unexpectedly

13 ἀλλὰ τί δεῖ περὶ ταῦτα διατρίβειν, ἃ σαφὲς οὐδὲν
but why is-it-needful about these-things to-spend-time which clear nothing
οὐδ' ὡρισμένον ἔχει τῷ καὶ τὰ πράγματα διαφθαρῆναι
nor defined has in-the also the affairs to-have-been-destroyed
τῶν Ῥωμαίων καὶ συγχυθῆναι τοὺς ὑπ' αὐτῶν
of-the Romans and to-have-been-confounded the by them
ὑπομνηματισμούς, ὡς Λίβιος ἱστόρηκε; τὰ γὰρ ὕστερον
memoranda as Livy has-recorded the for later
μᾶλλον ὄντα δῆλα καὶ καταφανῆ δεικνύει τὴν τῆς Τύχης
more being plain and evident show the — of-Fortune
εὐμένειαν. ἐγὼ δὲ τίθεμαι καὶ τὴν Ἀλεξάνδρου τελευτήν,
goodwill I and count also the of-Alexander death
ἀνδρὸς εὐτυχήμασι μεγάλοις καὶ κατορθώμασι λαμπροῖς
a-man with-good-fortunes great and successes splendid
ὑπὸ θάρσους ἀμάχου καὶ φρονήματος ὥσπερ ἄστρου
from daring irresistible and spirit as a-star
φερομένου καὶ διάττοντος ἐπὶ δυσμὰς ἐξ ἀνατολῶν καὶ
moving and darting toward settings from risings and
βάλλοντος ἤδη τὰς τῶν ὅπλων αὐγὰς εἰς τὴν Ἰταλίαν,
casting already the of-the arms rays into — Italy
ὡς πρόφασις μὲν ἦν αὐτῷ τῆς στρατείας ὁ Μολοττὸς
as a-pretext indeed was for-him of-the campaign the Molossian
Ἀλέξανδρος ὑπὸ Βρεττίων καὶ Λευκανῶν περὶ Πανδοσίαν
Alexander by Bruttii and Lucanians at Pandosia
κατακεκομμένος· ὁ δ' ἄγων αὐτὸν ὡς ἀληθῶς ἐπὶ πάντας
cut-down the but driving him as truly against all
ἀνθρώπους δόξης ἔρως καὶ ἡγεμονίας ζῆλον ἔσχε καὶ
men of-glory love and of-supremacy emulation had and
ἅμιλλαν ὑπερβαλέσθαι τὰ Διονύσου καὶ Ἡρακλέους πέρατα
rivalry to-surpass the of-Dionysus and of-Heracles limits
τῆς στρατηλασίας. τῆς δ' Ἰταλίας ἐπυνθάνετο τὴν ἐν
of-the campaign — and of-Italy he-learned the in

Ῥώμῃ δύναμιν καὶ ἀλκὴν ὥσπερ στόμωμα προτεταγμένην·
Rome power and strength as a-front-line drawn-up
ὄνομα γὰρ καὶ δόξα τούτων ἐπιφανεστάτη διεπέμπετο πρὸς
a-name for and fame of-these most-conspicuous was-carried to
αὐτὸν ὥσπερ ἀθλητῶν μυρίοις ἐγγεγυμνασμένων πολέμοις
him as of-athletes in-countless trained wars

οὐ γὰρ ἀναιμωτί γε διακρινθήμεναι οἴω,
not for without-blood at-least to-be-decided I-think

συμπεσόντων ὅπλοις ἀνικήτοις φρονημάτων ἀδουλώτων.
having-clashed with-arms unconquered spirits unenslaved
πλῆθος μὲν γὰρ ἦσαν οὗτοι τρισκαίδεκα μυριάδων οὐκ
in-number indeed for were these thirteen ten-thousands not
ἐλάττους, πολεμικοὶ δὲ καὶ ἀνδρώδεις ἅπαντες,
fewer warlike but and manly all

ἐπιστάμενοι μὲν ἀφ᾽ ἵππων
knowing-how indeed from horses
ἀνδράσι μάρνασθαι καὶ ὅθι χρὴ πεζὸν ἐόντα.
with-men to-fight and where it-is-needful on-foot being

PLUTARCH

ΠΥΡΡΟΣ

Pyrrhus

Pyrrhus' line ran from Neoptolemus, son of Achilles, through Tharrypas, who brought Greek ways to Epirus, to Aeacides. When the Molossians drove Aeacides out, friends fled with the infant Pyrrhus; a message on bark thrown across a flooded river brought men on the far bank to ferry him over, and he reached the Illyrian king Glaucias, at whose knees he crept. Glaucias reared him, refused Cassander's two hundred talents, and restored him at twelve. His face was fearsome, his teeth one bone, and his foot was thought to heal the spleen.

Θεσπρωτῶν καὶ Μολοσσῶν μετὰ τὸν κατακλυσμὸν 1
of-Thesprotians and Molossians after the flood
ἱστοροῦσι Φαέθοντα βασιλεῦσαι πρῶτον, ἕνα τῶν μετὰ
they-record Phaethon to-have-reigned first one of-those with
Πελασγοῦ παραγενομένων εἰς τὴν Ἤπειρον· ἔνιοι δὲ
Pelasgus having-come into — Epirus some and
Δευκαλίωνα καὶ Πύρραν εἱσαμένους τὸ περὶ Δωδώνην
Deucalion and Pyrrha having-founded the at Dodona
ἱερὸν αὐτόθι κατοικεῖν ἐν Μολοσσοῖς. χρόνῳ δὲ
sanctuary there to-dwell among Molossians in-time and
ὕστερον Νεοπτόλεμος ὁ Ἀχιλλέως λαὸν ἀγαγὼν αὐτός
later Neoptolemus the son-of-Achilles a-people having-led himself
τε τὴν χώραν κατέσχε καὶ διαδοχὴν βασιλέων ἀφ' αὑτοῦ
both the country took and a-succession of-kings from himself
κατέλιπε, Πυρρίδας ἐπικαλουμένους· καὶ γὰρ αὐτῷ Πύρρος
left Pyrrhidae called and for to-him Pyrrhus
ἦν παιδικὸν ἐπωνύμιον, καὶ τῶν γνησίων παίδων ἐκ
was a-boyhood surname and of-the legitimate children from
Λανάσσης τῆς Κλεοδαίου τοῦ Ὕλλου γενομένων
Lanassa the daughter-of-Cleodaeus the son-of-Hyllus born
ἕνα Πύρρον ὠνόμασεν. ἐκ τούτου δὲ καὶ Ἀχιλλεὺς ἐν
one Pyrrhus he-named from this and also Achilles in

Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν, Ἄσπετος ἐπιχωρίῳ φωνῇ
Epirus honors godlike had Aspetus in-native tongue
προσαγορευόμενος. μετὰ δὲ τοὺς πρώτους, τῶν διὰ μέσου
addressed after and the first of-the in between
βασιλέων ἐκβαρβαρωθέντων καὶ γενομένων τῇ τε δυνάμει
kings having-become-barbarous and having-become in-the both power
καὶ τοῖς βίοις ἀμαυροτέρων, Θαρρύπαν πρῶτον ἱστοροῦσιν
and in-the lives more-obscure Tharrypas first they-record
Ἑλληνικοῖς ἔθεσι καὶ γράμμασι καὶ νόμοις φιλανθρώποις
with-Greek customs and letters and laws humane
διακοσμήσαντα τὰς πόλεις ὀνομαστὸν γενέσθαι. Θαρρύπου
having-ordered the cities famous to-have-become of-Tharrypas
δὲ Ἀλκέτας υἱὸς ἦν, Ἀλκέτα δὲ Ἀρύβας, Ἀρύβου δὲ καὶ
and Alcetas son was of-Alcetas and Arybas of-Arybas and and
Τρῳάδος Αἰακίδης. οὗτος ἔγημε τὴν Μένωνος τοῦ Θεσσαλοῦ
of-Troas Aeacides this-one married the of-Meno the Thessalian
θυγατέρα Φθίαν, ἀνδρὸς εὐδοκίμου περὶ τὸν Λαμιακὸν
daughter Phthia a-man well-reputed in the Lamian
πόλεμον γενομένου καὶ μέγιστον ἀξίωμα τῶν συμμάχων
war having-been and greatest esteem of-the allies
μετὰ Λεωσθένην λαβόντος. ἐκ δὲ τῆς Φθίας τῷ Αἰακίδῃ
after Leosthenes having-got from and — Phthia — to-Aeacides
γίνονται θυγατέρες Δηιδάμεια καὶ Τρῳάς, υἱὸς δὲ Πύρρος.
are-born daughters Deidameia and Troas a-son and Pyrrhus
2 ἐπεὶ δὲ στασιάσαντες οἱ Μολοσσοὶ καὶ τὸν Αἰακίδην
when and having-revolted the Molossians and — Aeacides
ἐκβαλόντες ἐπηγάγοντο τοὺς Νεοπτολέμου παῖδας, οἱ
having-driven-out brought-in the of-Neoptolemus sons the
μὲν φίλοι τοῦ Αἰακίδου διεφθάρησαν καταληφθέντες, τὸν
indeed friends — of-Aeacides were-destroyed having-been-caught —
δὲ Πύρρον ἔτι νήπιον ὄντα καὶ ζητούμενον ὑπὸ τῶν
but Pyrrhus still an-infant being and being-sought by the

πολεμίων ἐκκλέψαντες οἱ περὶ Ἀνδροκλείδην καὶ Ἄγγελον
enemies having-stolen-away those about Androcleides and Angelus
ἔφευγον, οἰκέτας ὀλίγους καὶ γύναια τιθηνούμενα τὸ παιδίον
fled servants few and women nursing the child
ἀναγκαίως ἐφελκόμενοι. καὶ διὰ τοῦτο τῆς φυγῆς
of-necessity dragging-along and because-of this the flight
αὐτοῖς γινομένης δυσέργου καὶ βραδείας καταλαμβανόμενοι
for-them becoming laborious and slow being-overtaken
τὸ μὲν παιδίον ἐγχειρίζουσιν Ἀνδροκλείωνι καὶ Ἱππίᾳ
the indeed child they-entrust to-Androcleon and Hippias
καὶ Νεάνδρῳ, νεανίσκοις οὖσι πιστοῖς καὶ ῥωμαλέοις, ἀνὰ
and Neander young-men being trusty and strong with
κράτος φεύγειν καὶ Μεγάρων ἔχεσθαι χωρίου Μακεδονικοῦ
all-speed to-flee and Megara to-reach a-place Macedonian
προστάξαντες, αὐτοὶ δὲ τὰ μὲν δεόμενοι, τὰ δὲ
having-ordered themselves and partly indeed begging partly and
ἀπομαχόμενοι τοῖς διώκουσιν ἐμποδὼν ἦσαν ἄχρι δείλης
fighting-off the pursuers in-the-way were until evening
ὀψίας. ἀποτραπομένων δὲ μόλις ἐκείνων μετέθεον τοὺς
late having-turned-back and barely them they-ran-after those
τὸν Πύρρον κομίζοντας. ἤδη δὲ τοῦ ἡλίου καταδεδυκότος
— Pyrrhus carrying already and the sun having-set
ἐγγὺς γενόμενοι τῆς ἐλπίδος ἐξαίφνης ἀπεκόπησαν,
near having-come of-the hope suddenly they-were-cut-off
ἐντυχόντες τῷ παρὰ τὴν πόλιν παραρρέοντι ποταμῷ,
having-met the by the city flowing-past river
χαλεπῷ μὲν ὀφθῆναι καὶ ἀγρίῳ, πειρωμένοις δὲ διαβαίνειν
difficult indeed to-be-seen and savage to-those-trying and to-cross
παντάπασιν ἀπορωτάτῳ. πολύ τε γὰρ ἐξέπιπτε ῥεῦμα καὶ
altogether most-impassable much both for poured-down stream and
θολερὸν ὄμβρων ἐπιγενομένων, καὶ τὸ σκότος ἐποίει πάντα
turbid rains having-come-on and the darkness made all-things

φοβερώτερα. καθ' αὑτοὺς μὲν οὖν ἀπέγνωσαν ἐπιχειρεῖν
more-fearful by themselves indeed then they-despaired to-attempt
παιδίον φερόμενοι καὶ γύναια τὰ τρέφοντα τὸ παιδίον,
a-child carrying and women the nursing the child
αἰσθόμενοι δὲ τῶν ἐπιχωρίων τινὰς ἐν τῷ πέραν ἑστῶτας
having-perceived and of-the natives some on the far-side standing
ἐδέοντο συλλαβέσθαι πρὸς τὴν διάβασιν, καὶ τὸν Πύρρον
they-begged to-help toward the crossing and — Pyrrhus
ἀνεδείκνυσαν βοῶντες καὶ ἱκετεύοντες. οἱ δὲ οὐ κατήκουον
they-held-up shouting and supplicating they but not heard
διὰ τραχύτητα καὶ πάταγον τοῦ ῥεύματος, ἀλλ' ἦν
through roughness and roar of-the stream but there-was
διατριβὴ τῶν μὲν βοώντων, τῶν δὲ μὴ συνιέντων,
delay of-the-ones indeed shouting of-the-others and not understanding
ἄχρι τις ἐννοήσας καὶ περιελὼν δρυὸς φλοιὸν ἐνέγραψε
until someone having-thought and having-stripped-off of-an-oak bark wrote-on
πόρπῃ γράμματα φράζοντα τήν τε χρείαν καὶ τὴν
with-a-buckle-pin letters telling the both need and the
τύχην τοῦ παιδός, εἶτα λίθῳ τὸν φλοιὸν περιελίξας
fortune of-the child then to-a-stone the bark having-wrapped-around
καὶ χρησάμενος οἷον ἔρματι τῆς βολῆς ἀφῆκεν εἰς τὸ
and using as ballast of-the throw he-let-go to the
πέραν· ἔνιοι δέ φασι σαυνίῳ περιπήξαντας ἀκοντίσαι τὸν
far-side some and say to-a-javelin having-fixed-it to-have-hurled the
φλοιόν. ὡς δ' οὖν ἀνέγνωσαν οἱ πέραν τὰ γράμματα
bark when and then read those across the letters
καὶ συνεῖδον τὴν ὀξύτητα τοῦ καιροῦ, κόπτοντες ξύλα καὶ
and saw the urgency of-the moment cutting timbers and
πρὸς ἄλληλα συνδέοντες ἐπεραιοῦντο. καὶ κατὰ τύχην ὁ
to one-another binding they-crossed and by chance the

πρῶτος αὐτῶν περαιωθεὶς Ἀχιλλεὺς τοὔνομα τὸν Πύρρον
first of-them having-crossed Achilles by-name — Pyrrhus
ἐδέξατο· τοὺς δὲ ἄλλους ὡς ἔτυχον ἄλλοι διεκόμιζον.
received the and others as they-happened others conveyed-across
οὕτω δὲ σωθέντες καὶ φθάσαντες τὴν δίωξιν εἰς 3
so and having-been-saved and having-outstripped the pursuit to
Ἰλλυριοὺς παρεγένοντο πρὸς Γλαυκίαν τὸν βασιλέα· καὶ
Illyrians they-came to Glaucias the king and
καθεζόμενον εὑρόντες οἴκοι μετὰ τῆς γυναικὸς ἐν μέσῳ
sitting having-found-him at-home with the wife in the-middle
τὸ παιδίον ἐπὶ τῆς γῆς κατέθεσαν. ὁ δὲ ἦν ἐπὶ γνώμης,
the child on the ground they-set-down he and was in thought
Κάσανδρον δεδοικὼς ἐχθρὸν ὄντα τοῦ Αἰακίδου, καὶ σιωπὴν
Cassander fearing an-enemy being — of-Aeacides and silence
εἶχε πολὺν χρόνον βουλευόμενος. ἐν τούτῳ δὲ ὁ Πύρρος ἀπ᾽
kept long time deliberating in this and — Pyrrhus of
αὐτομάτου προσερπύσας καὶ λαβόμενος τοῦ ἱματίου ταῖς
his-own-accord having-crept-up and having-taken-hold of-the cloak with-the
χερσὶ καὶ προσεξαναστὰς πρὸς τὰ γόνατα τοῦ Γλαυκίου
hands and having-raised-himself-up to the knees — of-Glaucias
γέλωτα πρῶτον, εἶτα οἶκτον παρέσχεν, ὥσπερ τις ἱκέτης
laughter first then pity caused like some suppliant
ἐχόμενος καὶ δακρύων. ἔνιοι δέ φασιν οὐ τῷ Γλαυκίᾳ
clinging and weeping some and say not — to-Glaucias
προσπεσεῖν αὐτόν, ἀλλὰ βωμοῦ θεῶν προσαψάμενον
to-have-fallen-before him but of-an-altar of-gods having-taken-hold
ἑστάναι πρὸς αὐτὸν περιβαλόντα τὰς χεῖρας, καὶ τὸ
to-have-stood against it having-put-around the hands and the
πρᾶγμα τῷ Γλαυκίᾳ θεῖον φανῆναι. διὸ καὶ παραυτίκα
thing — to-Glaucias divine to-have-appeared wherefore also immediately
τὸν Πύρρον ἐνεχείρισε τῇ γυναικί, κελεύσας ἅμα
— Pyrrhus he-entrusted to-the wife having-bidden together-with

τοῖς τέκνοις τρέφεσθαι, καὶ μικρὸν ὕστερον ἐξαιτουμένων
the children to-be-reared and a-little later demanding
τῶν πολεμίων, Κασάνδρου δὲ καὶ διακόσια τάλαντα
the enemies Cassander and also two-hundred talents
διδόντος, οὐκ ἐξέδωκεν, ἀλλὰ καὶ γενόμενον δυοκαίδεκα
offering not he-gave-up but also having-become twelve
ἐτῶν καταγαγὼν εἰς τὴν Ἤπειρον μετὰ δυνάμεως βασιλέα
years having-restored into — Epirus with a-force king
κατέστησεν. ἦν δὲ ὁ Πύρρος τῇ μὲν ἰδέᾳ τοῦ προσώπου
he-established was and — Pyrrhus in-the indeed look of-the face
φοβερώτερον ἔχων ἢ σεμνότερον τὸ βασιλικόν, πολλοὺς δὲ
more-fearful having than more-august the kingly many and
ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν, οἷον
teeth not he-had but one bone continuous was above as-if
λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένον τῶν ὀδόντων.
with-fine lines the divisions marked of-the teeth
τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν, ἀλεκτρυόνα θύων
to-the and splenetic he-seemed to-help a-cock sacrificing
λευκόν, ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων
white on-their-backs and lying with-the right foot pressing
ἀτρέμα τὸ σπλάγχνον. οὐδεὶς δὲ ἦν πένης οὐδὲ ἄδοξος
gently the spleen no-one and was poor nor obscure
οὕτως ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. ἐλάμβανε δὲ
so that not to-obtain the treatment having-asked he-accepted and
καὶ τὸν ἀλεκτρυόνα θύσας, καὶ τὸ γέρας τοῦτο ἥδιστον
also the cock having-sacrificed and the fee this most-pleasant
ἦν αὐτῷ. λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα
was to-him it-is-said and of-the foot that the great
δάκτυλον ἔχειν δύναμιν θείαν, ὥστε μετὰ τὴν τελευτὴν
toe to-have power divine so-that after the death

τοῦ λοιποῦ σώματος κατακαέντος ἀπαθῆ καὶ ἄθικτον ὑπὸ
of-the remaining body having-been-burned unharmed and untouched by
τοῦ πυρὸς εὑρεθῆναι. ταῦτα μὲν οὖν ὕστερον.
the fire to-have-been-found these-things indeed then later

4–7 · EXILE, RETURN, AND PANTAUCHUS

Deposed at seventeen, Pyrrhus joined Demetrius, fought at Ipsus, and went to Egypt as a hostage, where Berenice's favor won him Antigone. Restored to Epirus, he shared the throne with Neoptolemus until a poison plot was revealed, and killed him at a sacrifice. He helped Alexander, Cassander's son, against Antipater for lands and saw through Lysimachus' forged letter. Demetrius then killed Alexander and took Macedonia, and Pyrrhus beat his general Pantauchus in single combat.

γενομένῳ δὲ περὶ ἑπτακαίδεκα ἔτη καὶ δοκοῦντι τὴν ἀρχὴν 4
having-become and about seventeen years and seeming the rule
ἔχειν βεβαίως ἀποδημία τις συνέτυχε, τῶν Γλαυκίου παίδων
to-hold securely a-journey some happened of-the of-Glaucias sons
ἑνός, οἷς συνετέθραπτο, γυναῖκα λαμβάνοντος. πάλιν
one with-whom he-had-been-reared a-wife taking again
οὖν οἱ Μολοττοὶ συστάντες ἐξέβαλον τοὺς φίλους αὐτοῦ
then the Molossians having-combined drove-out the friends his
καὶ τὰ χρήματα διήρπασαν καὶ Νεοπτολέμῳ παρέδωκαν
and the property plundered and to-Neoptolemus handed-over
ἑαυτούς. ὁ δὲ Πύρρος οὕτω τὴν ἀρχὴν ἀποβαλὼν
themselves — and Pyrrhus so the rule having-lost
καὶ γενόμενος πάντων ἔρημος Δημητρίῳ τῷ Ἀντιγόνου
and having-become of-all bereft to-Demetrius the son-of-Antigonus
προσέμιξεν ἑαυτόν, ἔχοντι τὴν ἀδελφὴν αὐτοῦ Δηιδάμειαν,
attached himself having the sister his Deidameia
ἣν ἔτι μὲν οὖσαν κόρην ὠνόμαζον Ἀλεξάνδρου τοῦ
whom still indeed being a-girl they-named of-Alexander the

Ῥωξάνης γυναῖκα, τῶν δὲ κατ᾽ ἐκείνους δυστυχηθέντων
son-of-Roxane wife of-those and in their-time having-met-misfortune
ὥραν ἔχουσαν αὐτὴν ἔγημεν ὁ Δημήτριος. τῆς δὲ μεγάλης
in-bloom being her married — Demetrius in-the and great
μάχης ἣν ἐν Ἰψῷ πάντες οἱ βασιλεῖς ἠγωνίσαντο, παρὼν
battle which at Ipsus all the kings fought being-present
ὁ Πύρρος τοῖς περὶ Δημήτριον συμμετεῖχε μειράκιον
— Pyrrhus with-those about Demetrius took-part a-stripling
ὢν ἔτι, καὶ τοὺς καθ᾽ ἑαυτὸν ἐτρέψατο, καὶ διεφάνη
being still and those opposite himself routed and shone-forth
λαμπρὸς ἐν τοῖς μαχομένοις. πταίσαντα δὲ Δημήτριον
brilliant among the fighters having-stumbled and Demetrius
οὐκ ἐγκατέλιπεν, ἀλλὰ καὶ τὰς ἐν τῇ Ἑλλάδι πόλεις
not he-abandoned but also the in — Greece cities
πιστευθεὶς διεφύλαξε, καὶ συμβάσεων αὐτῷ γενομένων
having-been-entrusted guarded and agreements to-him having-been-made
πρὸς Πτολεμαῖον ἔπλευσεν εἰς Αἴγυπτον ὁμηρεύσων. καὶ
with Ptolemy he-sailed to Egypt going-to-be-a-hostage and
Πτολεμαίῳ μὲν ἔν τε θήραις καὶ γυμνασίοις ἐπίδειξιν
to-Ptolemy indeed in both hunts and exercises a-display
ἀλκῆς καὶ καρτερίας παρεῖχε, τὴν δὲ Βερενίκην ὁρῶν
of-strength and endurance he-provided — and Berenice seeing
μέγιστον δυναμένην καὶ πρωτεύουσαν ἀρετῇ καὶ φρονήσει
greatest being-powerful and foremost in-virtue and in-prudence
τῶν Πτολεμαίου γυναικῶν, ἐθεράπευε μάλιστα· καὶ δεινὸς
of-the of-Ptolemy wives he-courted most and clever
ὢν ὑπελθεῖν ἐπ᾽ ὠφελείᾳ τοὺς κρείττονας, ὥσπερ
being to-get-around for advantage the stronger as
ὑπερόπτης τῶν ταπεινοτέρων, κόσμιος δὲ καὶ σώφρων
disdainful of-the humbler orderly and and self-controlled
περὶ δίαιταν, ἐκ πολλῶν νέων ἡγεμονικῶν προεκρίθη
about way-of-life from many young princely he-was-preferred

λαβεῖν Ἀντιγόνην γυναῖκα τῶν Βερενίκης θυγατέρων, ἣν
to-take Antigone as-wife of-the of-Berenice daughters whom
ἔσχεν ἐκ Φιλίππου πρὶν ἢ Πτολεμαίῳ συνοικεῖν.
she-had by Philip before than with-Ptolemy to-live
μετὰ δὲ τὸν γάμον τοῦτον ἔτι μᾶλλον εὐδοκιμῶν, 5
after and the marriage this still more being-esteemed
καὶ γυναικὸς ἀγαθῆς τῆς Ἀντιγόνης περὶ αὐτὸν οὔσης,
and a-wife good — Antigone about him being
διεπράξατο χρήματα λαβὼν καὶ δύναμιν εἰς Ἤπειρον
he-managed money having-taken and a-force into Epirus
ἐπὶ τὴν βασιλείαν ἀποσταλῆναι. καὶ παρῆν οὐκ ἄκουσι
for the kingdom to-be-sent and he-came not unwilling
τοῖς πολλοῖς διὰ τὴν ἀπέχθειαν τοῦ Νεοπτολέμου
to-the many because-of the hatred — of-Neoptolemus
χαλεπῶς καὶ βιαίως ἄρχοντος. πλὴν ἀλλὰ δείσας
harshly and violently ruling except but having-feared
μὴ πρός τινα τῶν ἄλλων βασιλέων ὁ Νεοπτόλεμος
lest to some of-the other kings — Neoptolemus
τράπηται, διαλύσεις ἔθετο καὶ φιλίαν πρὸς αὐτὸν ἐπὶ
turn a-settlement he-made and friendship with him on
κοινωνίᾳ τῆς ἀρχῆς. χρόνου δὲ προϊόντος ἦσαν οἱ
sharing of-the rule time and advancing there-were the-ones
παροξύνοντες αὐτοὺς κρύφα καὶ κατ᾽ ἀλλήλων ἐμποιοῦντες
provoking them secretly and against one-another producing
ὑποψίας. ἡ μέντοι μάλιστα κινήσασα τὸν Πύρρον αἰτία
suspicions the however most having-moved — Pyrrhus cause
λέγεται τοιαύτην ἀρχὴν λαβεῖν. εἰώθεισαν οἱ βασιλεῖς ἐν
is-said such beginning to-have-taken were-accustomed the kings at
Πασσαρῶνι, χωρίῳ τῆς Μολοττίδος, Ἀρείῳ Διὶ θύσαντες
Passaron a-place — of-Molossis to-Areius Zeus having-sacrificed
ὁρκωμοτεῖν τοῖς Ἠπειρώταις καὶ ὁρκίζειν, αὐτοὶ
to-swear-oaths with-the Epirotes and to-administer-oaths they-themselves

μὲν ἄρξειν κατὰ τοὺς νόμους, ἐκείνους δὲ τὴν
indeed to-be-going-to-rule according-to the laws them and the
βασιλείαν διαφυλάξειν κατὰ τοὺς νόμους. ταῦτ᾽
kingdom to-be-going-to-maintain according-to the laws these-things
οὖν ἐδρᾶτο ἀμφοτέρων τῶν βασιλέων παρόντων, καὶ
then were-being-done both the kings being-present and
συνῆσαν ἀλλήλοις μετὰ τῶν φίλων, δῶρα πολλὰ τὰ
they-consorted with-one-another with the friends gifts many the-ones
μὲν διδόντες, τὰ δὲ λαμβάνοντες. ἐνταῦθα δὴ Γέλων,
indeed giving the-others and receiving there indeed Gelon
ἀνὴρ πιστὸς Νεοπτολέμῳ, δεξιωσάμενος φιλοφρόνως τὸν
a-man faithful to-Neoptolemus having-greeted kindly —
Πύρρον ἐδωρήσατο βοῶν ἀροτήρων δυσὶ ζεύγεσι. ταῦτα
Pyrrhus gave of-oxen for-plowing with-two yokes these
Μυρτίλος ὁ ἐπὶ τοῦ οἴνου παρὼν ᾔτει τὸν Πύρρον·
Myrtilus the over the wine being-present asked — Pyrrhus
ἐκείνου δὲ μὴ διδόντος, ἀλλ᾽ ἑτέρῳ, χαλεπῶς ἐνεγκὼν ὁ
he and not giving but to-another resentfully having-borne-it —
Μυρτίλος οὐκ ἔλαθε τὸν Γέλωνα. καλέσας οὖν αὐτὸν
Myrtilus not escaped-the-notice — of-Gelon having-invited then him
ἐπὶ δεῖπνον, ὡς δέ φασιν ἔνιοι, καὶ χρησάμενος παρ᾽ οἶνον
to dinner as and say some and having-used over wine
ὥραν ἔχοντι, λόγους προσήνεγκε παρακαλῶν ἑλέσθαι τὰ
in-bloom being words he-brought-to exhorting to-choose the-side
τοῦ Νεοπτολέμου καὶ φαρμάκοις διαφθεῖραι τὸν Πύρρον.
— of-Neoptolemus and with-poisons to-destroy — Pyrrhus
ὁ δὲ Μυρτίλος ἐδέξατο μὲν τὴν πεῖραν ὡς ἐπαινῶν καὶ
— and Myrtilus received indeed the attempt as approving and
συμπεπεισμένος, ἐμήνυσε δὲ τῷ Πύρρῳ· καὶ κελεύσαντος
having-been-persuaded informed but — Pyrrhus and having-bidden
ἐκείνου τὸν ἀρχιοινοχόον Ἀλεξικράτην τῷ Γέλωνι συνέστησεν,
he the chief-cupbearer Alexicrates — to-Gelon he-introduced

ὡς δὴ μεθέξοντα τῆς πράξεως αὐτοῖς· ἐβούλετο γὰρ ἐν
as indeed going-to-share of-the deed with-them he-wished for in
πλείοσιν ὁ Πύρρος τὸν ἔλεγχον γενέσθαι τοῦ ἀδικήματος.
more — Pyrrhus the proof to-be of-the crime
οὕτω δὲ τοῦ Γέλωνος ἐξαπατωμένου συνεξαπατώμενος ὁ
so and — Gelon being-deceived being-deceived-along-with —
Νεοπτόλεμος, καὶ τὴν ἐπιβουλὴν ὁδῷ βαδίζειν οἰόμενος
Neoptolemus and the plot on-the-road to-proceed thinking
οὐ κατεῖχεν, ἀλλ' ὑπὸ χαρᾶς ἐξέφερε πρὸς τοὺς φίλους.
not restrained-himself but from joy he-blurted to the friends
καί ποτε κωμάσας παρὰ τὴν ἀδελφὴν Καδμείαν ἐχρῆτο
and once having-reveled at the sister Cadmeia used
λαλιᾷ περὶ τούτων, οὐδένα συνακούειν οἰόμενος· οὐδεὶς γὰρ
chatter about these-things no-one to-overhear thinking no-one for
ἦν πλησίον ἄλλος ἢ Φαιναρέτη γυνὴ Σάμωνος τοῦ τὰ
was near other than Phaenarete wife of-Samon the the
ποίμνια καὶ τὰ βουκόλια τῷ Νεοπτολέμῳ διοικοῦντος, αὕτη
flocks and the herds — for-Neoptolemus managing she
δὲ ἀπεστραμμένη πρὸς τὸν τοῖχον ἐπὶ κλίνης τινὸς ἐδόκει
and having-turned-away toward the wall on a-couch some seemed
καθεύδειν. συνήκοος δὲ πάντων γενομένη καὶ λαθοῦσα
to-sleep an-ear-witness and of-everything having-become and having-escaped-notice
μεθ' ἡμέραν ἦκε πρὸς Ἀντιγόνην τὴν Πύρρου γυναῖκα,
by day came to Antigone the of-Pyrrhus wife
καὶ πάντα κατεῖπεν ὅσα τοῦ Νεοπτολέμου πρὸς τὴν
and all-things she-told as-many-as — from-Neoptolemus to the
ἀδελφὴν ἤκουσε λέγοντος. πυθόμενος δὲ ὁ Πύρρος ἐκεῖ
sister she-heard saying having-learned and — Pyrrhus at-that-time
μὲν ἡσυχίαν ἦγεν, ἐν δὲ θυσίᾳ καλέσας ἐπὶ δεῖπνον
indeed quiet kept at and a-sacrifice having-invited to dinner
τὸν Νεοπτόλεμον ἀπέκτεινεν, αἰσθόμενος τῶν Ἠπειρωτῶν
— Neoptolemus killed having-perceived of-the Epirotes

τοὺς κρατίστους προσέχοντας αὑτῷ, καὶ παρακελευομένους
the most-powerful attaching-themselves to-himself and urging
ἀπαλλαγῆναι τοῦ Νεοπτολέμου, καὶ μὴ μερίδα μικρὰν
to-be-rid — of-Neoptolemus and not a-portion small
ἔχοντα βασιλείας ἀγαπᾶν, ἀλλὰ τῇ φύσει χρήσασθαι
having of-kingship to-be-content but the nature to-use
μειζόνων πραγμάτων ἀντιλαμβανόμενον, καί τινος ὑποψίας
greater affairs laying-hold-of and some suspicion
ἅμα προσγενομένης τὸν Νεοπτόλεμον φθάσας ἀνελεῖν.
at-once having-come-on — Neoptolemus having-anticipated to-kill
6 μεμνημένος δὲ Βερενίκης καὶ Πτολεμαίου παιδίον μὲν
remembering and Berenice and Ptolemy a-child indeed
αὐτῷ γενόμενον ἐξ Ἀντιγόνης Πτολεμαῖον ὠνόμασεν,
to-him born from Antigone Ptolemy he-named
οἰκίσας δὲ πόλιν ἐν τῇ χερρονήσῳ τῆς Ἠπείρου
having-founded and a-city in the peninsula — of-Epirus
Βερονικίδα προσηγόρευσεν. ἐκ δὲ τούτου πολλὰ μὲν
Berenicis he-called from and this many-things indeed
περινοῶν καὶ μεγάλα τῇ γνώμῃ, ταῖς δὲ ἐλπίσι μάλιστα
devising and great in-the mind with-the and hopes most
καὶ πρῶτον ἀντιλαμβανόμενος τῶν πλησίον, εὗρεν ἐμφῦναι
and first laying-hold-of of-the near-things he-found to-fasten-on
τοῖς Μακεδόνων πράγμασιν ἐκ τοιᾶσδέ τινος προφάσεως.
to-the of-Macedonians affairs from such a-certain pretext
τῶν Κασάνδρου παίδων ὁ πρεσβύτερος Ἀντίπατρος τήν τε
of-the of-Cassander sons the elder Antipater the both
μητέρα Θεσσαλονίκην ἀνεῖλε καὶ τὸν ἀδελφὸν Ἀλέξανδρον
mother Thessalonice killed and the brother Alexander
ἤλαυνεν. ὁ δὲ πρός τε Δημήτριον ἔπεμψε δεόμενος βοηθεῖν
drove-out he and to both Demetrius sent asking to-help
καὶ Πύρρον ἐκάλει. Δημητρίου δὲ ὑπὸ ἀσχολιῶν βραδύνοντος
and Pyrrhus called Demetrius but by business being-slow

ἐπελθὼν ὁ Πύρρος ᾔτησε μισθὸν τῆς συμμαχίας τήν τε
having-come — Pyrrhus asked as-pay of-the alliance — both
Στυμφαίαν καὶ τὴν Παραυαίαν τῆς Μακεδονίας, καὶ τῶν
Stymphaea and — Parauaea — of-Macedonia and of-the
ἐπικτήτων ἐθνῶν Ἀμβρακίαν, Ἀκαρνανίαν, Ἀμφιλοχίαν.
acquired nations Ambracia Acarnania Amphilochia
προεμένου δὲ τοῦ νεανίσκου ταῦτα μὲν αὐτὸς εἶχε
having-given-up and the young-man these-things indeed himself held
φρουραῖς καταλαβών, τὰ δὲ λοιπὰ κτώμενος ἐκείνῳ
with-garrisons having-seized the and rest acquiring for-him
περιέκοπτε τὸν Ἀντίπατρον. Λυσίμαχος δὲ ὁ βασιλεὺς
he-was-curtailing — Antipater Lysimachus and the king
αὐτὸς μὲν ἦν ἐν ἀσχολίαις προθυμούμενος Ἀντιπάτρῳ
himself indeed was in business-affairs being-eager to-Antipater
βοηθεῖν, εἰδὼς δὲ τὸν Πύρρον οὐδὲν ἀχαριστεῖν οὐδὲ
to-help knowing and — Pyrrhus nothing to-be-ungrateful nor
ἀρνεῖσθαι Πτολεμαίῳ βουλόμενον ἔπεμψε πλαστὰ γράμματα
to-refuse to-Ptolemy wishing he-sent forged letters
πρὸς αὐτόν, ὡς Πτολεμαίου κελεύοντος ἀπαλλάττεσθαι
to him as Ptolemy bidding to-withdraw
τῆς στρατείας τριακόσια τάλαντα παρὰ τοῦ Ἀντιπάτρου
from-the campaign three-hundred talents from — Antipater
λαβόντα. λύσας δὲ τὴν ἐπιστολὴν ὁ Πύρρος εὐθὺς
having-received having-opened and the letter — Pyrrhus at-once
τὸ ῥᾳδιούργημα τοῦ Λυσιμάχου συνεῖδεν· οὐδὲ γὰρ ἦν
the knavery — of-Lysimachus perceived not for was
ἡ συνήθης γεγραμμένη προσαγόρευσις, "ὁ πατὴρ τῷ
the customary written salutation the father to-the
υἱῷ χαίρειν·" ἀλλά, "βασιλεὺς Πτολεμαῖος βασιλεῖ Πύρρῳ
son greeting but king Ptolemy to-king Pyrrhus
χαίρειν." λοιδορήσας δὲ τὸν Λυσίμαχον ὅμως ἐποιεῖτο τὴν
greeting having-reviled and — Lysimachus nevertheless he-made the

εἰρήνην, καὶ συνῆεσαν ὡς κατὰ σφαγίων ὁρκωμοτήσοντες.
peace and they-came-together as over victims going-to-swear-oaths
ἐπεὶ δὲ ταύρου καὶ κάπρου καὶ κριοῦ προσαχθέντος ὁ
when and a-bull and a-boar and a-ram having-been-brought-up the
κριὸς αὐτομάτως ἀπέθανε, τοῖς μὲν ἄλλοις γελᾶν ἐπῆει,
ram spontaneously died to-the indeed others to-laugh occurred
τὸν δὲ Πύρρον ὁ μάντις Θεόδοτος ὀμόσαι διεκώλυσε,
— but Pyrrhus the seer Theodotus to-swear prevented
φήσας τὸ δαιμόνιον ἑνὶ προσημαίνειν τῶν τριῶν βασιλέων
saying the divinity to-one to-foreshow of-the three kings
θάνατον. ὁ μὲν οὖν Πύρρος οὕτως ἀπέστη τῆς εἰρήνης.
death — indeed then Pyrrhus so stood-off from-the peace
7 τῷ δὲ Ἀλεξάνδρῳ τῶν πραγμάτων ἤδη κατάστασιν
— and to-Alexander the affairs already settlement
ἐχόντων ὅμως ὁ Δημήτριος ἀφίκετο· καὶ δῆλος μὲν
having nevertheless — Demetrius arrived and plain indeed
ἦν εὐθὺς ἥκων μὴ δεομένῳ, καὶ φόβον παρεῖχεν, ὀλίγας
he-was at-once coming not to-one-needing and fear caused few
δ' ἡμέρας συγγενόμενοι δι' ἀπιστίας ἐπεβούλευσαν
and days having-been-together through distrust plotted-against
ἀλλήλοις ἀμφότεροι. καιρῷ δὲ χρησάμενος καὶ φθάσας
one-another both opportunity and having-used and having-anticipated
ἀποκτίννυσιν ὁ Δημήτριος τὸ μειράκιον, καὶ βασιλεὺς
kills — Demetrius the stripling and king
ἀνηγορεύθη Μακεδονίας. ἦν μὲν οὖν καὶ πρότερον
was-proclaimed of-Macedonia there-were indeed then also before
αὐτῷ πρὸς τὸν Πύρρον ἐγκλήματα, καὶ καταδρομαὶ τῆς
for-him against — Pyrrhus grievances and raids —
Θεσσαλίας ἐγεγόνεισαν ὑπ' ἐκείνου, καὶ τὸ σύμφυτον
of-Thessaly had-been by him and the innate
νόσημα ταῖς δυναστείαις, ἡ πλεονεξία, τὴν γειτνίασιν
disease to-the dynasties the greed the neighborhood

αὐτοῖς ἐπίφοβον καὶ ἄπιστον παρεῖχε, καὶ μᾶλλον ἔτι μετὰ
for-them fearful and untrustworthy made and more still after
τὴν τῆς Δηϊδαμείας τελευτήν. ἐπεὶ δὲ καὶ κατασχόντες
the — of-Deidameia death when and also having-occupied
ἀμφότεροι Μακεδονίας συνέπιπτον εἰς τὸ αὐτὸ καὶ
both Macedonia they-collided into the same and
μείζονας ἐλάμβανε προφάσεις ἡ διαφορά, Δημήτριος μὲν
greater got pretexts the quarrel Demetrius indeed
ἐπ᾽ Αἰτωλοὺς στρατευσάμενος καὶ κρατήσας, Πάνταυχον
against Aetolians having-campaigned and having-conquered Pantauchus
αὐτόθι μετὰ πολλῆς δυνάμεως καταλιπὼν αὐτὸς ἐβάδιζεν
there with much force having-left himself marched
ἐπὶ Πύρρον, καὶ Πύρρος ἐπ᾽ ἐκεῖνον, ὡς ᾔσθετο.
against Pyrrhus and Pyrrhus against him when he-perceived
γενομένης δὲ διαμαρτίας καθ᾽ ὁδὸν ἀλλήλους παρήλλαξαν·
having-occurred and a-mistake on the-road one-another they-passed
καὶ Δημήτριος μὲν ἐμβαλὼν εἰς Ἤπειρον ἐλεηλάτει,
and Demetrius indeed having-invaded into Epirus plundered
Πύρρος δὲ Πανταύχῳ περιπεσὼν εἰς μάχην κατέστη. καὶ
Pyrrhus and Pantauchus having-fallen-in-with into battle entered and
τῶν στρατιωτῶν συμπεσόντων δεινὸς ἦν καὶ μέγας ἀγών,
of-the soldiers having-clashed terrible was and great contest
μάλιστα κατὰ τοὺς ἡγεμόνας. ὅ τε γὰρ Πάνταυχος ἀνδρείᾳ
most among the commanders — both for Pantauchus in-courage
καὶ χειρὶ καὶ ῥώμῃ σώματος ἄριστος ὢν ὁμολογουμένως
and in-hand and in-strength of-body best being admittedly
τῶν περὶ Δημήτριον στρατηγῶν, καὶ θάρσος ἔχων καὶ
of-the about Demetrius generals and boldness having and
φρόνημα, προὐκαλεῖτο τὸν Πύρρον εἰς χεῖρας, ὅ τε
spirit challenged — Pyrrhus to hands — and
Πύρρος οὐδενὶ τῶν βασιλέων ὑφιέμενος ἀλκῆς καὶ τόλμης,
Pyrrhus to-none of-the kings yielding in-strength and daring

καὶ τὴν Ἀχιλλέως δόξαν αὑτῷ δι᾽ ἀρετὴν μᾶλλον ἢ
and the of-Achilles glory to-himself through virtue rather than
κατὰ γένος συνοικειοῦν βουλόμενος, ἐναντίος ἐχώρει διὰ
by birth to-make-his-own wishing opposite advanced through
τῶν προμάχων ἐπὶ τὸν Πάνταυχον. ἦν δὲ δορατισμὸς
the front-fighters against — Pantauchus there-was and spear-fighting
τὸ πρῶτον, εἶτα ἐν χεροῖν γενόμενοι μετὰ τέχνης ἅμα
the first then in hands having-come with skill at-once
καὶ βίας ἐχρῶντο τοῖς ξίφεσι. λαβὼν δὲ ὁ Πύρρος
and force they-used the swords having-received and — Pyrrhus
ἓν τραῦμα, δοὺς δὲ δύο, τὸ μὲν εἰς τὸν μηρόν,
one wound having-given and two the-one indeed into the thigh
τὸ δὲ παρὰ τὸν τράχηλον, ἐτρέψατο καὶ κατέβαλε τὸν
the-other and by the neck he-routed and threw-down —
Πάνταυχον· οὐ μὴν ἀνεῖλεν, ἀνηρπάγη γὰρ ὑπὸ τῶν
Pantauchus not indeed killed he-was-snatched-away for by the
φίλων. οἱ δὲ Ἠπειρῶται τῇ νίκῃ τοῦ βασιλέως ἐπαρθέντες
friends the and Epirotes by-the victory of-the king elated
καὶ θαυμάσαντες τὴν ἀρετὴν ἐβιάσαντο καὶ διέκοψαν
and having-admired the valor forced-their-way and cut-through
τὴν φάλαγγα τῶν Μακεδόνων, καὶ φεύγοντας διώκοντες
the phalanx of-the Macedonians and fleeing pursuing
ἀπέκτειναν τε πολλοὺς καὶ πεντακισχιλίους ζῶντας εἷλον.
killed both many and five-thousand alive took

The Macedonians thought him the image of Alexander; Hannibal ranked him first of generals. He was gentle to friends, eager to repay favors, married for power, and raised his sons for war. Called the Eagle, he raided Macedonia while Demetrius was ill and was repulsed; Demetrius made peace, and Lanassa took Corcyra to Demetrius. Urged by the kings, he took Beroea after a dream of Alexander as Lysimachus invaded; Demetrius' army deserted to him, and he was proclaimed king of Macedonia.

ὁ δὲ ἀγὼν οὗτος οὐ τοσοῦτον ὀργῆς ὧν ἔπαθον οὐδὲ 8
the and contest this not so-much with-anger for-what they-suffered nor
μίσους ἐνέπλησε τοὺς Μακεδόνας πρὸς τὸν Πύρρον, ὅσην
with-hatred filled the Macedonians toward — Pyrrhus as-much-as
δόξαν αὐτοῦ καὶ θαῦμα τῆς ἀρετῆς καὶ λόγον ἐνειργάσατο
glory of-him and wonder of-the valor and talk it-produced
τοῖς ἰδοῦσι τὰ ἔργα καὶ συνενεχθεῖσι κατὰ τὴν μάχην.
in-those having-seen the deeds and having-engaged in the battle
καὶ γὰρ ὄψιν ᾤοντο καὶ τάχος ἐοικέναι καὶ κίνημα
and for appearance they-thought and speed to-resemble and movement
τοῖς Ἀλεξάνδρου, καὶ τῆς φορᾶς ἐκεῖνον καὶ βίας παρὰ
to-those of-Alexander and of-the rush of-that-one and force in
τοὺς ἀγῶνας ἐν τούτῳ σκιάς τινας ὁρᾶσθαι καὶ μιμήματα,
the contests in this shadows some to-be-seen and imitations
τῶν μὲν ἄλλων βασιλέων ἐν πορφύραις καὶ δορυφόροις
of-the indeed other kings in purples and bodyguards
καὶ κλίσει τραχήλου καὶ τῷ μεῖζον διαλέγεσθαι, μόνου
and inclination of-neck and in-the louder to-converse only
δὲ Πύρρου τοῖς ὅπλοις καὶ ταῖς χερσὶν ἐπιδεικνυμένου τὸν
but of-Pyrrhus by-the arms and the hands displaying —
Ἀλέξανδρον. τῆς δὲ περὶ τάξεις καὶ στρατηγίας ἐπιστήμης
Alexander of-the and about tactics and generalship knowledge

αὐτοῦ καὶ δεινότητος ἔνεστι δείγματα λαβεῖν ἐκ τῶν
his and skill it-is-possible proofs to-take from the
γραμμάτων ἃ περὶ τούτων ἀπολέλοιπε. λέγεται δὲ καὶ
writings which about these-things he-has-left it-is-said and also
Ἀντίγονος ἐρωτηθεὶς τίς ἄριστος τῶν στρατηγῶν, φάναι,
Antigonus having-been-asked who best of-the generals to-say
"Πύρρος, ἂν γηράσῃ," περὶ τῶν καθ' αὑτὸν οὕτως
Pyrrhus if he-grow-old about those in his-own-time so
ἀποφηνάμενος μόνον. Ἀννίβας δὲ συμπάντων ἀπέφηνε τῶν
having-declared only Hannibal and of-all declared the
στρατηγῶν πρῶτον μὲν ἐμπειρίᾳ καὶ δεινότητι Πύρρον,
generals first indeed in-experience and skill Pyrrhus
Σκηπίωνα δὲ δεύτερον, ἑαυτὸν δὲ τρίτον, ὡς ἐν τοῖς
Scipio and second himself and third as in the
περὶ Σκηπίωνος γέγραπται. καὶ ὅλως τοῦτο μελετῶν
about Scipio has-been-written and altogether this studying
ἔοικε καὶ φιλοσοφῶν ἀεὶ διατελεῖν ὁ Πύρρος, ὡς
seems and philosophizing always to-have-continued — Pyrrhus as
μαθημάτων βασιλικώτατον, τὰς δὲ ἄλλας γλαφυρίας ἐν
of-studies most-kingly the and other elegances in
οὐδενὶ λόγῳ τίθεσθαι. λέγεται γὰρ ὡς ἐρωτηθεὶς ἔν τινι
no account to-hold it-is-said for that having-been-asked at some
πότῳ, πότερον αὐτῷ φαίνεται Πύθων αὐλητὴς ἀμείνων
drinking-party whether to-him seems Python flute-player better
ἢ Καφισίας, εἰπεῖν ὅτι Πολυπέρχων στρατηγός, ὡς
or Caphisias to-have-said that Polyperchon a-general as
ταῦτα τῷ βασιλεῖ ζητεῖν μόνα καὶ γινώσκειν προσῆκον.
these-things for-the king to-seek alone and to-know befitting
ἦν δὲ καὶ πρὸς τοὺς συνήθεις ἐπιεικὴς καὶ πρᾶος ὀργήν,
he-was and also toward the intimates reasonable and gentle in-temper
σφοδρὸς δὲ καὶ πρόθυμος ἐν ταῖς χάρισιν. Ἀερόπου γοῦν
vehement and and eager in the favors Aeropus at-least

ἀποθανόντος οὐκ ἤνεγκε μετρίως, ἐκεῖνον μὲν ἀνθρώπινα
having-died not he-bore moderately that-one indeed human-things
πεπονθέναι φάσκων, ἑαυτὸν δὲ μεμφόμενος καὶ κακίζων
to-have-suffered saying himself but blaming and reproaching
ὅτι μέλλων ἀεὶ καὶ βραδύνων χάριν οὐκ ἀπέδωκεν αὐτῷ.
because delaying always and being-slow a-favor not he-had-repaid to-him
τὰ μὲν γὰρ χρέα καὶ κληρονόμοις ἔστιν ἀποδοῦναι τῶν
the indeed for debts even to-heirs it-is-possible to-repay of-the
δανεισάντων, αἱ δὲ τῶν χαρίτων ἀμοιβαὶ μὴ γενόμεναι
lenders the but of-the favors returns not having-been-made
πρὸς αἰσθανομένους ἀνιῶσι τὸν χρηστὸν καὶ δίκαιον. ἐν
to those-perceiving grieve the good and just in
δὲ Ἀμβρακίᾳ κακολόγον τινὰ καὶ βλάσφημον ἄνθρωπον
and Ambracia an-abusive one and slanderous man
οἰομένων δεῖν μεταστῆσαι τὸν Πύρρον "αὐτοῦ μένων,"
thinking it-needful to-banish — Pyrrhus here remaining
ἔφη, "μᾶλλον ἡμᾶς ἐν ὀλίγοις ἢ περιὼν πρὸς ἅπαντας
he-said rather us among few than going-about to all
ἀνθρώπους κακῶς λεγέτω." καὶ τοὺς παρ' οἶνον αὐτὸν
men ill let-him-speak and those over wine him
λοιδορήσαντας, εἶτα ἐλεγχομένους ἠρώτησεν εἰ ταῦτα
having-reviled then being-convicted he-asked whether these-things
εἶπον· ἀποκριναμένου δὲ τῶν νεανίσκων ἑνός, "ταῦτα,
they-said having-answered and of-the young-men one these-things
ὦ βασιλεῦ· πλείονα δ' ἂν ἔτι τούτων εἰρήκειμεν, εἰ
O king more and — still than-these we-would-have-said if
πλείων παρῆν οἶνος ἡμῖν," γελάσας ἀφῆκε.
more had-been-present wine to-us having-laughed he-released-them
γυναῖκας δὲ πραγμάτων ἕνεκα καὶ δυνάμεως πλείονας 9
wives and of-affairs for-the-sake and of-power more
ἔγημε μετὰ τὴν Ἀντιγόνης τελευτήν. καὶ γὰρ Αὐτολέοντος
he-married after the of-Antigone death and for of-Autoleon

τοῦ Παιόνων βασιλέως ἔλαβε θυγατέρα, καὶ Βιρκένναν
the of-Paeonians king he-took a-daughter and Bircenna
τὴν Βαρδύλλιος τοῦ Ἰλλυριῶν, καὶ Λάνασσαν τὴν
the daughter-of-Bardyllis the king-of-Illyrians and Lanassa the
Ἀγαθοκλέους τοῦ Συρακουσίου, προῖκα προσφερομένην
daughter-of-Agathocles the Syracusan as-dowry bringing
αὐτῷ τὴν Κερκυραίων πόλιν ἡλωκυῖαν ὑπὸ Ἀγαθοκλέους.
to-him the of-Corcyraeans city captured by Agathocles
ἐκ μὲν οὖν Ἀντιγόνης Πτολεμαῖον υἱὸν ἔσχεν, ἐκ δὲ
from indeed then Antigone Ptolemy a-son he-had from and
Λανάσσης Ἀλέξανδρον, Ἕλενον δὲ τὸν νεώτατον ἐκ
Lanassa Alexander Helenus and the youngest from
Βιρκέννης. καὶ πάντας ἀγαθοὺς ἐν τοῖς ὅπλοις ἐθρέψατο
Bircenna and all good in the arms he-reared
καὶ διαπύρους, εὐθὺς ἐκ γενετῆς ἐπὶ τοῦτο θηγομένους
and fiery straight from birth for this whetted
ὑπ᾽ αὐτοῦ. λέγεται γὰρ ὡς ἐρωτηθεὶς ὑφ᾽ ἑνὸς αὐτῶν
by him it-is-said for that having-been-asked by one of-them
ἔτι παιδὸς ὄντος, τίνι καταλείψει τὴν βασιλείαν, εἰπεῖν,
still a-child being to-whom he-will-leave the kingship to-have-said
“ὃς ἂν ὑμῶν τὴν μάχαιραν ὀξυτάτην ἔχῃ.” τοῦτο δὲ
whoever — of-you the sword sharpest has this and
οὐδὲν ἀποδεῖ τῆς τραγικῆς ἀρᾶς ἐκείνης· “θηκτῷ
in-nothing falls-short-of the tragic curse that with-whetted
σιδήρῳ δῶμα διαλαχεῖν” τοὺς ἀδελφούς. οὕτως ἄμικτός
iron the-house to-divide-by-lot the brothers so unsociable
ἐστι καὶ θηριώδης ἡ τῆς πλεονεξίας ὑπόθεσις.
is and bestial the of-the greed nature
10 μετὰ δὲ τὴν μάχην ταύτην ὁ Πύρρος ἐπανελθὼν οἴκαδε
after and the battle this — Pyrrhus having-returned home
λαμπρὸς ὑπὸ δόξης καὶ φρονήματος ἔχαιρε· καὶ Ἀετὸς
brilliant with glory and pride rejoiced and Eagle

ὑπὸ τῶν Ἠπειρωτῶν προσαγορευόμενος, "δι' ὑμᾶς,"
by the Epirotes being-called through you
ἔλεγεν, "ἀετός εἰμι· πῶς γὰρ οὐ μέλλω, τοῖς ὑμετέροις
he-said an-eagle I-am how for not am-I-to with-the your
ὅπλοις ὥσπερ ὠκυπτέροις ἐπαιρόμενος;" ὀλίγῳ δὲ ὕστερον
arms as with-swift-wings being-borne-up a-little and later
πυθόμενος νοσεῖν τὸν Δημήτριον ἐπισφαλῶς ἐνέβαλε μὲν
having-learned to-be-sick — Demetrius dangerously he-invaded indeed
ἐξαίφνης εἰς Μακεδονίαν ὡς ἐπιδρομήν τινα καὶ λεηλασίαν
suddenly into Macedonia as an-incursion some and plundering
ποιησόμενος, παρ' ὀλίγον δὲ ἦλθε πάντων ὁμοῦ κρατῆσαι
going-to-make by little and he-came of-all together to-be-master
καὶ λαβεῖν ἀμαχεὶ τὴν βασιλείαν, ἐλάσας ἄχρι Ἐδέσσης
and to-take without-a-fight the kingdom having-ridden as-far-as Edessa
μηδενὸς ἀμυνομένου, πολλῶν δὲ καὶ προστιθεμένων καὶ
no-one resisting many and also joining and
συστρατευόντων. αὐτόν τε δὴ τὸν Δημήτριον ὁ κίνδυνος
campaigning-with-him himself both indeed — Demetrius the danger
ἐξανέστησε παρὰ δύναμιν, οἵ τε φίλοι καὶ ἡγεμόνες ὀλίγῳ
roused beyond his-strength the and friends and commanders in-little
χρόνῳ πολλοὺς ἀθροίσαντες ἐρρωμένως καὶ προθύμως ἐπὶ
time many having-gathered vigorously and eagerly against
τὸν Πύρρον ὥρμησαν. ὁ δὲ λῃστρικώτερον ἀφιγμένος οὐκ
— Pyrrhus set-out he and more-like-a-raider having-come not
ἔμεινεν, ἀλλὰ φεύγων μέρος τι τῆς στρατιᾶς ἀπέβαλε
stayed but fleeing part some of-the army lost
καθ' ὁδὸν ἐπιθεμένων τῶν Μακεδόνων. οὐ μὴν ὅτι
on the-road having-attacked the Macedonians not indeed because
ῥᾳδίως καὶ ταχὺ τὸν Πύρρον ἐξέβαλε τῆς χώρας ὁ
easily and quickly — Pyrrhus drove-out of-the country —
Δημήτριος ἠμέλησεν, ἐγνωκὼς δὲ μεγάλων πραγμάτων
Demetrius neglected-him having-resolved but great affairs

ἀντιλαμβάνεσθαι καὶ τὴν πατρῴαν ἀρχὴν ἀνακτᾶσθαι δέκα
to-take-in-hand and the ancestral empire to-recover with-ten
μυριάσι στρατοῦ καὶ ναυσὶ πεντακοσίαις οὐκ ἐβούλετο τῷ
ten-thousands of-army and ships five-hundred not he-wished —
Πύρρῳ προσπταῖσαι, οὐδὲ ἀπολιπεῖν Μακεδόσι πάροικον
on-Pyrrhus to-stumble nor to-leave for-Macedonians a-neighbor
ἐργώδη καὶ χαλεπόν, ἀλλ', ἐπεὶ μὴ ἐσχόλαζε πολεμεῖν
troublesome and difficult but since not he-had-leisure to-war
πρὸς αὐτόν, διαλυθεὶς καὶ θέμενος εἰρήνην οὕτως ἐπὶ
against him having-made-terms and having-made peace so against
τοὺς ἄλλους βασιλεῖς τραπέσθαι. γενομένων δὲ διὰ
the other kings to-turn having-been-made and because-of
ταῦτα τῶν ὁμολογιῶν, καὶ τῆς γνώμης ἅμα τῷ
these-things the agreements and of-the design at-once with-the
μεγέθει τῆς παρασκευῆς ἐκφανείσης τοῦ Δημητρίου,
size of-the preparation having-become-manifest — of-Demetrius
φοβηθέντες οἱ βασιλεῖς διεπέμποντο πρὸς τὸν Πύρρον
having-feared the kings sent to — Pyrrhus
ἀγγέλους καὶ γράμματα, θαυμάζειν φάσκοντες εἰ τὸν
messengers and letters to-wonder saying if the
αὑτοῦ προέμενος καιρόν, ἐν τῷ Δημητρίου πολεμῆσαι
his-own having-thrown-away opportunity in the of-Demetrius to-make-war
περιμένει, καὶ δυνάμενος Μακεδονίας ἐκβαλεῖν αὐτὸν πολλὰ
waits and being-able from-Macedonia to-drive-out him much
πράττοντα καὶ ταραττόμενον, ἐκδέχεται καὶ σχολάζοντι
doing and being-disturbed he-awaits and at-leisure
καὶ μεγάλῳ γενομένῳ περὶ τῶν ἐν Μολοσσοῖς ἱερῶν
and great having-become about the among Molossians temples
καὶ τάφων διαγωνίσασθαι, καὶ ταῦτα Κέρκυραν ἔναγχος
and tombs to-fight-it-out and that Corcyra recently
ἀφῃρημένος ὑπ' αὐτοῦ μετὰ τῆς γυναικός. ἡ γὰρ
having-been-deprived-of by him with the wife — for

Λάνασσα μεμψαμένη τὸν Πύρρον ὡς μᾶλλον προσέχοντα
Lanassa having-blamed — Pyrrhus as more attending
ταῖς βαρβάροις γυναιξὶν εἰς Κέρκυραν ἀπεχώρησε, καὶ
to-the barbarian wives to Corcyra withdrew and
δεομένη γάμων βασιλικῶν ἐκάλει Δημήτριον, ἐπισταμένη
wanting a-marriage royal called Demetrius knowing
μάλιστα τῶν βασιλέων εὐκόλως ἔχοντα πρὸς γάμους
most of-the kings easily disposed to marriages
γυναικῶν. ἐκεῖνος δὲ πλεύσας τῇ τε Λανάσσῃ συνῆλθε
of-women he and having-sailed — both with-Lanassa united
καὶ φρουρὰν ἐν τῇ πόλει κατέλιπε.
and a-garrison in the city left
ταῦτα πρὸς τὸν Πύρρον οἱ βασιλεῖς γράφοντες ἅμα 11
these-things to — Pyrrhus the kings writing at-once
καὶ δι᾽ ἑαυτῶν ἔτι μέλλοντα καὶ παρασκευαζόμενον τὸν
and through themselves still delaying and preparing —
Δημήτριον ἐκίνουν. Πτολεμαῖος μὲν γὰρ ἐπιπλεύσας
Demetrius they-stirred Ptolemy indeed for having-sailed-against-him
μεγάλῳ στόλῳ τὰς Ἑλληνίδας ἀφίστη πόλεις, Λυσίμαχος
with-great fleet the Greek detached cities Lysimachus
δὲ τὴν ἄνω Μακεδονίαν ἐκ Θρᾴκης ἐμβαλὼν ἐπόρθει.
and the upper Macedonia from Thrace having-invaded ravaged
Πύρρος δὲ τούτοις ἅμα συνεξαναστὰς ἐπὶ Βέροιαν
Pyrrhus and these together-with having-risen-up-with against Beroea
ἤλαυνε, προσδοκῶν, ὅπερ συνέβη, Δημήτριον ὑπαντιάζοντα
marched expecting which happened Demetrius meeting
Λυσιμάχῳ τὴν κάτω χώραν ἀπολείψειν ἔρημον. ἐκείνης
Lysimachus the lower country to-be-going-to-leave empty that
δὲ τῆς νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους ὑπὸ Ἀλεξάνδρου
and the night he-seemed in the sleep by Alexander
καλεῖσθαι τοῦ μεγάλου, καὶ παραγενόμενος κλινήρη
to-be-summoned the great and having-come sick-in-bed

μὲν αὐτὸν ἰδεῖν, λόγων δὲ χρηστῶν τυχεῖν καὶ
indeed him to-have-seen words but kind to-have-received and
φιλοφροσύνης ἐπαγγελλομένου προθύμως βοηθήσειν.
friendliness promising zealously to-be-going-to-help
αὐτοῦ δὲ τολμήσαντος εἰπεῖν, "καὶ πῶς ἄν, ὦ βασιλεῦ,
him and having-dared to-say and how — O king
νοσῶν δυνατὸς εἴης ἐμοὶ βοηθεῖν;" αὐτῷ φάναι τῷ
being-sick able could-you-be me to-help by-very to-have-said the
ὀνόματι, καὶ περιβάντα Νισαῖον ἵππον ἡγεῖσθαι. ταύτην
name and having-mounted a-Nisaean horse to-lead this
ἰδὼν τὴν ὄψιν ἐπερρώσθη· τάχει δὲ χρησάμενος καὶ
having-seen the vision he-was-encouraged with-speed and having-used and
διαδραμὼν τὰ μεταξὺ καταλαμβάνει τὴν Βέροιαν· καὶ
having-traversed the-places between he-seizes — Beroea and
τὸ πλεῖστον αὐτόθι τῆς στρατιᾶς ἱδρύσας τὰ λοιπὰ
the most-part there of-the army having-settled the rest
προσήγετο διὰ τῶν στρατηγῶν. ὁ δὲ Δημήτριος ἐπεὶ
won-over through the generals — but Demetrius when
ταῦτα ἤκουσε καὶ πονηρὸν ἐν τῷ στρατοπέδῳ θόρυβον
these-things he-heard and evil in the camp uproar
ᾔσθετο τῶν Μακεδόνων, ἔδεισε πορρωτέρω προαγαγεῖν,
he-perceived of-the Macedonians he-feared farther to-lead
μὴ πλησίον γενόμενοι βασιλέως Μακεδόνος καὶ δόξαν
lest near having-come of-a-king Macedonian and glory
ἔχοντος μεταβάλωνται πρὸς αὐτόν. ὅθεν ἐπιστρέψας ἐπὶ
having they-change-over to him whence having-turned against
τὸν Πύρρον ἦγεν ὡς ξένον καὶ μισούμενον ὑπὸ τῶν
— Pyrrhus he-led as a-foreigner and hated by the
Μακεδόνων. ἐπεὶ δὲ παρεστρατοπέδευσεν αὐτόθι, πολλοὶ
Macedonians when and he-encamped-beside there many
τῶν ἐκ τῆς Βεροίας ἀφικνούμενοι τὸν Πύρρον ἐνεκωμίαζον,
of-those from — Beroea coming — Pyrrhus praised

ὡς ἄμαχον μὲν ἐν τοῖς ὅπλοις καὶ λαμπρὸν ἄνδρα, πράως
as invincible indeed in the arms and brilliant man gently
δὲ καὶ φιλανθρώπως τοῖς ἡλωκόσι χρώμενον. ἦσαν
and and humanely the captured treating there-were
δέ τινες οὓς αὐτὸς ὁ Πύρρος ἐγκαθίει προσποιουμένους
and some whom himself — Pyrrhus sent-in pretending
εἶναι Μακεδόνας, καὶ λέγοντας ὅτι νῦν καιρός ἐστι τῆς
to-be Macedonians and saying that now the-moment it-is of-the
Δημητρίου βαρύτητος ἀπαλλαγῆναι, πρὸς ἄνδρα δημοτικὸν
of-Demetrius oppressiveness to-be-rid to a-man popular
καὶ φιλοστρατιώτην μεταβαλομένους τὸν Πύρρον. ἐκ τούτου
and soldier-loving having-gone-over — Pyrrhus from this
τὸ πλεῖστον ἀνηρέθιστο τῆς στρατιᾶς, καὶ τὸν Πύρρον
the most-part had-been-roused of-the army and — Pyrrhus
ἐζήτουν περισκοποῦντες. ἔτυχε γὰρ ἀφῃρημένος τὸ κράνος,
they-sought looking-around it-happened for having-taken-off the helmet
ἄχρι οὗ συμφρονήσας καὶ πάλιν περιθέμενος ἐγνώσθη
until — having-understood and again having-put-on he-was-recognized
τῷ τε λόφῳ διαπρέποντι καὶ τοῖς τραγικοῖς κέρασιν, ὥστε
by-the both crest conspicuous and the tragic horns so-that
τοὺς Μακεδόνας σύνθημα προστρέχοντας αἰτεῖν, ἄλλους
the Macedonians the-watchword running-up to-ask others
δὲ κλάδους δρυὸς ἀναστέφεσθαι διὰ τὸ καὶ τοὺς περὶ
and branches of-oak to-wreathe-themselves because-of the also those about
ἐκεῖνον ἐστεφανωμένους ὁρᾶν· ἤδη δὲ καὶ πρὸς αὐτόν τινες
him garlanded to-see already and also to him some
ἐτόλμων λέγειν τὸν Δημήτριον ὡς ὑπεκστὰς καὶ προέμενος
dared to-say — Demetrius that having-withdrawn and having-given-up
τὰ πράγματα καλῶς δόξει βεβουλεῦσθαι. τούτοις τοῖς
the affairs well he-will-seem to-have-planned to-these the
λόγοις ὅμοιον ὁρῶν τὸ κίνημα τοῦ στρατοπέδου καὶ φοβηθεὶς
words like seeing the movement of-the camp and having-feared

κρύφα διεξέπεσε, καυσίᾳ τινὶ καὶ λιτῷ χλαμυδίῳ περιστείλας
secretly slipped-out with-a-hat some and plain little-cloak having-wrapped-up
ἑαυτόν. ἐπελθὼν δὲ ὁ Πύρρος ἀμαχεὶ παρέλαβε τὸ
himself having-come and — Pyrrhus without-a-fight took-over the
στρατόπεδον καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδόνων.
camp and king was-proclaimed of-Macedonians

12–15 · CINEAS AND THE VOYAGE

He shared Macedonia with Lysimachus, who soon drove him out; Plutarch reflects that kings know no limit to greed. Restless, he answered Tarentum's appeal against Rome, though Meton warned the Tarentines in a revel's disguise. Cineas, his eloquent envoy, asked what he would do after conquering Italy, Sicily, and Libya; to rest and drink, Pyrrhus said, and Cineas asked why not rest now. He sailed with his army, a storm scattered his fleet, and he swam ashore half dead among the Messapians.

12 ἐπιφανέντος δὲ Λυσιμάχου καὶ κοινὸν ἔργον ἀμφοῖν
having-appeared and Lysimachus and common work for-both
ποιουμένου τὴν Δημητρίου κατάλυσιν καὶ νέμεσθαι τὴν
making the of-Demetrius overthrow and to-divide the
βασιλείαν ἀξιοῦντος, οὔπω πάνυ βεβαίως τοῖς Μακεδόσι
kingdom claiming not-yet very securely the Macedonians
πιστεύων ὁ Πύρρος, ἀλλ' ἀμφίβολος ὢν ἐν αὐτοῖς
trusting — Pyrrhus but doubtful being among them
ἐδέξατο τοῦ Λυσιμάχου τὴν πρόκλησιν, καὶ διενείμαντο τὰς
accepted — of-Lysimachus the proposal and they-divided the
πόλεις καὶ τὴν χώραν πρὸς ἀλλήλους. τοῦτο δὲ ὤνησε
cities and the country among one-another this and helped
μὲν ἐν τῷ παρόντι καὶ κατέπαυσε τὸν πόλεμον αὐτοῖς,
indeed in the present and stopped the war for-them

ὀλίγῳ δὲ ὕστερον ἔγνωσαν οὐκ ἀπαλλαγὴν ἔχθρας, ἀλλ'
in-a-little and later they-knew not a-riddance of-enmity but
ἐγκλημάτων καὶ διαφορᾶς ἀρχὴν πεποιημένοι τὴν νέμησιν.
of-grievances and of-quarrel a-beginning having-made the division
οἷς γὰρ οὐ πέλαγος, οὐκ ὄρος, οὐκ ἀοίκητος ἐρημία
to-whom for not sea not mountain not uninhabited desert
πέρας ἐστὶ πλεονεξίας, οὐδ' οἱ διαιροῦντες Εὐρώπην καὶ
a-limit is of-greed nor the dividing Europe and
Ἀσίαν τέρμονες ὁρίζουσι τὰς ἐπιθυμίας, πῶς ἂν ἁπτόμενοι
Asia boundaries limit the desires how — touching
καὶ ψαύοντες ἀλλήλων ἀτρεμοῖεν ἐν τοῖς παροῦσι μὴ
and grazing one-another could-they-keep-quiet in the present not
ἀδικοῦντες, οὐκ ἔστιν εἰπεῖν, ἀλλὰ πολεμοῦσι μὲν ἀεί,
wronging not it-is-possible to-say but they-war indeed always
τὸ ἐπιβουλεύειν καὶ φθονεῖν ἔμφυτον ἔχοντες, δυεῖν δὲ
the plotting and envying innate having of-two and
ὀνομάτων, ὥσπερ νομισμάτων, πολέμου καὶ εἰρήνης, τῷ
names as of-coins of-war and peace the
παρατυχόντι χρῶνται πρὸς τὸ συμφέρον, οὐ πρὸς τὸ
chancing they-use toward the advantageous not toward the
δίκαιον, ἐπεὶ βελτίους γε πολεμεῖν ὁμολογοῦντές εἰσιν ἢ
just since better at-least to-war admitting they-are than
τῆς ἀδικίας τὸ ἀργοῦν καὶ σχολάζον δικαιοσύνην καὶ φιλίαν
of-the injustice the idleness and leisure justice and friendship
ὀνομάζοντες. ἐδήλωσε δὲ ὁ Πύρρος· ἐμποδὼν γὰρ αὐξομένῳ
naming showed and — Pyrrhus in-the-way for growing
τῷ Δημητρίῳ πάλιν ἱστάμενος, καὶ κωλύων τὴν δύναμιν
— Demetrius again standing and hindering the power
ὥσπερ ἐξ ἀρρωστίας μεγάλης ἀναλαμβάνουσαν, ἐβοήθει
as from sickness great recovering he-helped
τοῖς Ἕλλησι καὶ παρῆλθεν εἰς τὰς Ἀθήνας. ἀναβὰς δὲ
the Greeks and came into — Athens having-gone-up and

εἰς τὴν ἀκρόπολιν καὶ θύσας τῇ θεῷ καὶ καταβὰς
to the acropolis and having-sacrificed to-the goddess and having-come-down
αὐθημερὸν ἀγαπᾶν μὲν ἔφησε τοῦ δήμου τὴν πρὸς αὐτὸν
the-same-day to-be-pleased indeed he-said of-the people the toward him
εὔνοιαν καὶ πίστιν, ἂν μέντοι σωφρονῶσι μηδένα τῶν
goodwill and trust if however they-be-sensible no-one of-the
βασιλέων ἔτι παρήσειν αὐτοὺς εἰς τὴν πόλιν μηδὲ
kings any-more to-be-going-to-admit them into the city nor
τὰς πύλας ἀνοίξειν· ἐκ τούτου καὶ πρὸς Δημήτριον
the gates to-be-going-to-open from this also with Demetrius
εἰρήνην ἐποιήσατο, καὶ μετ' ὀλίγον χρόνον, εἰς Ἀσίαν
peace he-made and after little time to Asia
ἀπάραντος αὐτοῦ, πάλιν πεισθεὶς ὑπὸ Λυσιμάχου Θετταλίαν
having-departed he again persuaded by Lysimachus Thessaly
ἀφίστη καὶ ταῖς Ἑλληνικαῖς φρουραῖς προσεπολέμει,
he-detached and the Greek garrisons attacked
βελτίοσι χρώμενος τοῖς Μακεδόσι στρατευομένοις ἢ
better finding the Macedonians campaigning than
σχολάζουσι, καὶ ὅλως αὐτὸς οὐκ εὖ πρὸς ἡσυχίαν
at-leisure and generally himself not well for quiet
πεφυκώς. τέλος δὲ Δημητρίου καταπολεμηθέντος ἐν Συρίᾳ
being-formed finally and Demetrius having-been-crushed in Syria
Λυσίμαχος ἐπ' ἀδείας γενόμενος καὶ σχολάζων εὐθὺς ἐπὶ
Lysimachus at security having-become and at-leisure at-once against
τὸν Πύρρον ὥρμησε. καὶ καθημένου περὶ τὴν Ἔδεσσαν
— Pyrrhus set-out and encamped about — Edessa
αὐτοῦ ταῖς ἀγοραῖς κομιζομέναις ἐπιπεσὼν καὶ κρατήσας
him on-the provisions being-brought having-fallen-upon and having-mastered
ἀπορίαν πρῶτον αὐτῷ περιέστησεν, εἶτα γράμμασι καὶ
want first for-him he-caused then by-letters and
λόγοις διέφθειρε τοὺς πρώτους τῶν Μακεδόνων, ὀνειδίζων
speeches he-corrupted the first of-the Macedonians reproaching

εἰ ξένον ἄνδρα καὶ προγόνων ἀεὶ δεδουλευκότων
if a-foreign man and of-forefathers always having-been-slaves
Μακεδόσι δεσπότην ἑλόμενοι τοὺς Ἀλεξάνδρου φίλους καὶ
to-Macedonians as-master having-chosen the of-Alexander friends and
συνήθεις ἀπωθοῦσι Μακεδονίας. ἀναπειθομένων δὲ πολλῶν
intimates they-push-out of-Macedonia being-persuaded and many
δείσας ὁ Πύρρος ἀπηλλάγη μετὰ τῆς Ἠπειρωτικῆς
having-feared — Pyrrhus withdrew with the Epirote
καὶ συμμαχικῆς δυνάμεως, ἀποβαλὼν Μακεδονίαν ᾗ
and allied force having-lost Macedonia in-which
τρόπῳ παρέλαβεν. ὅθεν οὐδ' αἰτιᾶσθαι τοὺς πολλοὺς
manner he-received whence not-even to-blame the many
ἔχουσιν οἱ βασιλεῖς μετατιθεμένους πρὸς τὸ συμφέρον·
are-able the kings changing toward the advantageous
ἐκείνους γὰρ αὐτοὺς ταῦτα μιμοῦνται ποιοῦντες, ἀπιστίας
them for themselves these-things they-imitate doing of-faithlessness
καὶ προδοσίας διδασκάλους ὄντας, καὶ πλεῖστα νομίζοντας
and treachery teachers being and most thinking
ὠφελεῖσθαι τὸν ἐλάχιστα τῷ δικαίῳ χρώμενον.
to-profit the-one least the justice using
τότε δ' οὖν εἰς Ἤπειρον ἐκπεσόντι τῷ Πύρρῳ καὶ 13
then and then into Epirus having-been-driven — Pyrrhus and
προεμένῳ Μακεδονίαν ἡ μὲν τύχη παρεῖχε χρῆσθαι τοῖς
having-given-up Macedonia the indeed fortune allowed to-use the
παροῦσιν ἀπραγμόνως καὶ ζῆν ἐν εἰρήνῃ βασιλεύοντα
present without-trouble and to-live in peace ruling
τῶν οἰκείων· ὁ δὲ τὸ μὴ παρέχειν ἑτέροις κακὰ μηδὲ
of-the own-people he and the not to-cause to-others evils nor
ἔχειν ὑφ' ἑτέρων ἄλυν τινὰ ναυτιώδη νομίζων, ὥσπερ
to-have from others a-tedium some nauseating thinking like
ὁ Ἀχιλλεὺς οὐκ ἔφερε τὴν σχολήν,
— Achilles not bore the leisure

ἀλλὰ φθινύθεσκε φίλον κῆρ
but wasted-away dear heart
αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.
there remaining he-longed-for and battle-cry both war and

δεόμενος δ' οὖν ἔλαβε πραγμάτων καινῶν τοιαύτην
wanting and then he-got of-affairs new such
ὑπόθεσιν. Ῥωμαῖοι Ταραντίνοις ἐπολέμουν· οἱ δὲ μήτε
an-occasion Romans with-Tarentines were-warring they and neither
φέρειν τὸν πόλεμον δυνάμενοι μήτε θέσθαι θρασύτητι
to-bear the war being-able nor to-end by-the-boldness
καὶ μοχθηρίᾳ δημαγωγῶν, ἐβουλεύοντο ποιεῖσθαι Πύρρον
and wickedness of-demagogues planned to-make Pyrrhus
ἡγεμόνα καὶ καλεῖν ἐπὶ τὸν πόλεμον ὡς σχολὴν ἄγοντα
leader and to-call to the war as leisure having
πλείστην τῶν βασιλέων καὶ στρατηγὸν ὄντα δεινότατον.
most of-the kings and general being most-skilled
τῶν δὲ πρεσβυτέρων καὶ νοῦν ἐχόντων πολιτῶν οἱ μὲν
of-the and elder and sense having citizens some indeed
ἄντικρυς ἐνιστάμενοι πρὸς τὴν γνώμην ἐξέπιπτον ὑπὸ
outright opposing against the proposal were-driven-out by
κραυγῆς καὶ βίας τῶν πολεμοποιῶν, οἱ δὲ ταῦτα
shouting and violence of-the war-makers others and these-things
ὁρῶντες ἀπέλειπον τὰς ἐκκλησίας. εἷς δέ τις ἀνὴρ
seeing left the assemblies one and a man
ἐπιεικής, Μέτων ὄνομα, τῆς ἡμέρας ἐκείνης ἐν ᾗ
reasonable Meton by-name of-the day that on which
τὸ δόγμα κυροῦν ἔμελλον ἐνστάσης καὶ τοῦ δήμου
the decree to-ratify they-were-about having-come and the people
καθεζομένου, λαβὼν στέφανον τῶν ἑώλων καὶ λαμπάδιον,
sitting having-taken a-garland of-the withered and a-little-torch

ὥσπερ οἱ μεθύοντες, αὐλητρίδος ὑφηγουμένης αὐτῷ πρὸς
like the drunk a-flute-girl leading him to
τὴν ἐκκλησίαν ἐκώμαζεν. οἷα δὲ ἐν ὄχλῳ δημοκρατίας
the assembly went-reveling such-as and in a-crowd of-democracy
κόσμον οὐκ ἐχούσης οἱ μὲν ἐκρότουν ἰδόντες, οἱ δὲ
order not having the-ones indeed applauded having-seen the-others and
ἐγέλων, ἐκώλυε δὲ οὐδείς, ἀλλὰ καὶ τὸ γύναιον αὐλεῖν
laughed hindered and no-one but even the woman to-play-the-flute
κἀκεῖνον ᾄδειν ἐκέλευον εἰς μέσον προελθόντα· καὶ τοῦτο
and-him to-sing they-bade into the-middle having-come-forward and this
ποιήσων ἐπίδοξος ἦν. γενομένης δὲ σιωπῆς "ἄνδρες,"
going-to-do expected he-was having-come and silence men
ἔφη, "Ταραντῖνοι, καλῶς ποιεῖτε παίζειν καὶ κωμάζειν,
he-said Tarentines well you-do to-play and to-revel
ἕως ἔξεστι, τοῖς βουλομένοις μὴ φθονοῦντες. ἐὰν δὲ
while it-is-possible to-those wishing not grudging if but
σωφρονῆτε, καὶ πάντες ἀπολαύσετε ἔτι τῆς ἐλευθερίας,
you-are-wise also all you-will-enjoy still the freedom
ὡς ἕτερα πράγματα καὶ βίον καὶ δίαιταν ἔξοντες ὅταν
as other affairs and life and way-of-life going-to-have when
Πύρρος εἰς τὴν πόλιν παραγένηται." ταῦτα ῥηθέντα
Pyrrhus into the city comes these-things having-been-said
τοὺς πολλοὺς ἔπεισε τῶν Ταραντίνων, καὶ θροῦς διέδραμε
the many persuaded of-the Tarentines and a-murmur ran-through
τῆς ἐκκλησίας ὡς εὖ λεγομένων. οἱ δὲ τοὺς Ῥωμαίους
the assembly as well spoken they and the Romans
δεδιότες, μὴ γενομένης εἰρήνης ἐκδοθῶσι, τόν τε
fearing lest peace having-been-made they-be-surrendered the both
δῆμον ἐλοιδόρουν εἰ φέρει πράως ἐπικωμαζόμενος οὕτως
people reviled if it-bears mildly being-reveled-upon so
ἀσελγῶς καὶ παροινούμενος, τόν τε Μέτωνα συστραφέντες
wantonly and insulted-in-drink — and Meton having-banded-together

ἐξέβαλον. οὕτω δὲ τοῦ δόγματος κυρίου γενομένου πρέσβεις
threw-out so and the decree ratified having-been envoys
ἔπεμψαν εἰς Ἤπειρον, οὐχ αὑτῶν μόνον, ἀλλὰ καὶ τῶν
they-sent to Epirus not of-themselves only but also of-the
Ἰταλιωτῶν, δῶρα τῷ Πύρρῳ κομίζοντας καὶ λέγοντας ὡς
Italiots gifts — to-Pyrrhus bringing and saying that
ἡγεμόνος ἔμφρονος δέονται καὶ δόξαν ἔχοντος, δυνάμεις
a-leader prudent they-need and glory having forces
δὲ αὐτόθεν ὑπάρξουσι μεγάλαι παρά τε Λευκανῶν καὶ
and from-there will-be great from both Lucanians and
Μεσσαπίων καὶ Σαυνιτῶν καὶ Ταραντίνων εἰς δισμυρίους
Messapians and Samnites and Tarentines up-to twenty-thousand
ἱππεῖς, πεζῶν δὲ ὁμοῦ πέντε καὶ τριάκοντα μυριάδας.
horse of-foot and together five and thirty ten-thousands
ταῦτα οὐ μόνον αὐτὸν ἐπῆρε τὸν Πύρρον, ἀλλὰ καὶ τοῖς
these-things not only himself elated — Pyrrhus but also to-the
Ἠπειρώταις προθυμίαν ἐνέβαλε καὶ ὁρμὴν τῆς στρατείας.
Epirotes eagerness cast and impulse for-the campaign
14 ἦν δέ τις Κινέας, Θεσσαλὸς ἀνήρ, τῷ μὲν φρονεῖν
there-was and a Cineas Thessalian man in-the indeed being-wise
δοκῶν ἱκανὸς εἶναι, Δημοσθένους δὲ τοῦ ῥήτορος ἀκηκοὼς
seeming able to-be Demosthenes and the orator having-heard
ἐδόκει μόνος εὖ μάλιστα τῶν τότε λεγόντων οἷον ἐν
he-seemed alone well most of-the then speakers as in
εἰκόνι τῆς ἐκείνου δυνάμεως καὶ δεινότητος ἀναμιμνήσκειν
an-image of-the of-that-man power and skill to-remind
τοὺς ἀκούοντας. συνὼν δὲ τῷ Πύρρῳ καὶ πεμπόμενος ἐπὶ
those hearing being-with and — Pyrrhus and being-sent to
τὰς πόλεις ἐβεβαίου τὸ Εὐριπίδειον, ὅτι πᾶν ἐξαιρεῖ λόγος
the cities he-confirmed the Euripidean that all takes speech

ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
what even iron of-enemies might-do —

ὁ γοῦν Πύρρος ἔλεγε πλείονας πόλεις ὑπὸ Κινέου τοῖς
— at-least Pyrrhus used-to-say more cities by Cineas by-the
λόγοις ἢ τοῖς ὅπλοις ὑφ᾽ ἑαυτοῦ προσῆχθαι· καὶ διετέλει
words than by-the arms by himself to-have-been-won and he-continued
τὸν ἄνδρα τιμῶν ἐν τοῖς μάλιστα καὶ χρώμενος. οὗτος
the man honoring among the most and using this-one
οὖν τὸν Πύρρον ὡρμημένον τότε ὁρῶν ἐπὶ τὴν Ἰταλίαν
then — Pyrrhus eager then seeing for — Italy
εἰς λόγους ἐπηγάγετο τοιούτους, ἰδὼν σχολάζοντα.
into talk he-drew such having-seen-him at-leisure
“πολεμισταὶ μέν, ὦ Πύρρε, Ῥωμαῖοι λέγονται καὶ πολλῶν
warlike indeed O Pyrrhus Romans are-said and of-many
ἐθνῶν μαχίμων ἄρχοντες· εἰ δὲ δοίη θεὸς περιγενέσθαι
nations warlike rulers if and grant god to-prevail-over
τῶν ἀνδρῶν, τί χρησόμεθα τῇ νίκῃ;” καὶ ὁ Πύρρος,
the men what shall-we-use the victory and — Pyrrhus
“ἐρωτᾷς,” εἶπεν, “ὦ Κινέα, πρᾶγμα φαινόμενον· οὔτε
you-ask he-said O Cineas a-thing evident neither
βάρβαρος ἡμῖν ἐκεῖ πόλις οὔτε Ἑλληνὶς ἀξιόμαχος
barbarian for-us there city nor Greek a-match
Ῥωμαίων κρατηθέντων, ἀλλ᾽ ἕξομεν εὐθὺς Ἰταλίαν
Romans having-been-conquered but we-shall-have at-once Italy
ἅπασαν, ἧς μέγεθος καὶ ἀρετὴν καὶ δύναμιν ἄλλῳ
whole of-which size and virtue and power to-another
πού τινι μᾶλλον ἀγνοεῖν ἢ σοὶ προσήκει.” μικρὸν
somewhere any rather to-be-ignorant than to-you befits a-little
οὖν ἐπισχὼν ὁ Κινέας, “Ἰταλίαν δέ,” εἶπεν, “ὦ βασιλεῦ,
then having-paused — Cineas Italy and he-said O king

λαβόντες, τί ποιήσομεν;" καὶ ὁ Πύρρος οὔπω τὴν
having-taken what shall-we-do and — Pyrrhus not-yet the
διάνοιαν αὐτοῦ καθορῶν, "ἐγγύς," εἶπεν, "ἡ Σικελία
intention his perceiving near he-said — Sicily
χεῖρας ὀρέγει, νῆσος εὐδαίμων καὶ πολυάνθρωπος, ἁλῶναι
hands stretches-out an-island prosperous and populous to-be-taken
δὲ ῥᾴστη· στάσις γάρ, ὦ Κινέα, πάντα νῦν ἐκεῖνα καὶ
and easiest faction for O Cineas all-things now there and
ἀναρχία πόλεων καὶ δημαγωγῶν ὀξύτης Ἀγαθοκλέους
anarchy of-cities and of-demagogues sharpness Agathocles
ἐκλελοιπότος." "εἰκότα," ἔφη, "λέγεις," ὁ Κινέας· "ἀλλ'
having-died likely-things he-said you-say — Cineas but
ἦ τοῦτο πέρας ἡμῖν τῆς στρατείας, λαβεῖν Σικελίαν;"
truly this the-limit for-us of-the campaign to-take Sicily
"θεός," ἔφη ὁ Πύρρος, "νικᾶν διδῷη καὶ κατορθοῦν·
god said — Pyrrhus to-conquer may-grant and to-succeed
τούτοις δὲ προάγωσι χρησόμεθα πραγμάτων μεγάλων. τίς
with-these and preliminaries we-shall-use of-affairs great who
γὰρ ἂν ἀπόσχοιτο Λιβύης καὶ Καρχηδόνος ἐν ἐφικτῷ
for — would-keep-away from-Libya and Carthage within reach
γενομένης, ἣν Ἀγαθοκλῆς ἀποδρὰς ἐκ Συρακουσῶν
having-come which Agathocles having-run-away from Syracuse
κρύφα καὶ περάσας ναυσὶν ὀλίγαις λαβεῖν παρ' οὐδὲν
secretly and having-crossed with-ships few to-take by nothing
ἦλθεν; ὅτι δὲ τούτων κρατήσασιν ἡμῖν οὐδεὶς ἀντιστήσεται
came that and these having-mastered us no-one will-oppose
τῶν νῦν ὑβριζόντων πολεμίων, τί ἂν λέγοι τις;" "οὐδέν,"
of-the now insolent enemies what — would-say anyone nothing
ὁ Κινέας εἶπε· "δῆλον γὰρ ὅτι καὶ Μακεδονίαν ἀναλαβεῖν
— Cineas said plain for that both Macedonia to-recover
καὶ τῆς Ἑλλάδος ἄρχειν ὑπάρξει βεβαίως ἀπὸ τηλικαύτης
and — Greece to-rule will-be-possible securely from such

δυνάμεως. γενομένων δὲ πάντων ὑφ᾽ ἡμῖν, τί ποιήσομεν;"
power having-become and all under us what shall-we-do
καὶ ὁ Πύρρος ἐπιγελάσας, "σχολήν," ἔφη, "ἄξομεν
and — Pyrrhus having-laughed leisure he-said we-shall-have
πολλήν, καὶ κώθων, ὦ μακάριε, καθημερινὸς ἔσται, καὶ
much and a-drinking-cup O blessed-man daily will-be and
διὰ λόγων συνόντες ἀλλήλους εὐφρανοῦμεν." ἐνταῦθα δὴ
through talks being-together one-another we-shall-cheer there indeed
τῶν λόγων καταστήσας τὸν Πύρρον ὁ Κινέας, "εἶτα,"
of-the talk having-brought — Pyrrhus — Cineas then
ἔφη, "τί νῦν ἐμποδών ἐστιν ἡμῖν βουλομένοις κώθωνι
he-said what now in-the-way is for-us wishing a-drinking-cup
χρῆσθαι καὶ σχολάζειν μετ᾽ ἀλλήλων, εἰ ταῦτα ἔχομεν
to-use and to-be-at-leisure with one-another if these-things we-have
ἤδη καὶ πάρεστιν ἀπραγμόνως ἐφ᾽ ἃ δι᾽ αἵματος καὶ
already and it-is-present without-trouble to what through blood and
πόνων μεγάλων καὶ κινδύνων μέλλομεν ἀφίξεσθαι, πολλὰ
toils great and dangers we-are-about to-arrive many
καὶ δράσαντες ἑτέρους κακὰ καὶ παθόντες;" τούτοις τοῖς
both having-done to-others evils and having-suffered by-these the
λόγοις ἠνίασε μᾶλλον ἢ μετέθηκε τὸν Πύρρον ὁ Κινέας,
words he-grieved rather than changed — Pyrrhus — Cineas
νοήσαντα μὲν ὅσην ἀπέλειπεν εὐδαιμονίαν, ὧν δὲ
having-understood indeed how-great he-was-leaving happiness of-what but
ὠρέγετο τὰς ἐλπίδας ἀφεῖναι μὴ δυνάμενον.
he-yearned-for the hopes to-let-go not being-able
πρῶτον μὲν οὖν ἀπέστειλε τὸν Κινέαν τοῖς Ταραντίνοις 15
first indeed then he-sent — Cineas to-the Tarentines
στρατιώτας ἄγοντα τρισχιλίους· ἔπειτα πολλῶν ἱππηγῶν
soldiers leading three-thousand then many horse-transports
καὶ καταφράκτων καὶ πορθμείων παντοδαπῶν ἐκ Τάραντος
and decked-ships and ferries of-all-kinds from Tarentum

κομισθέντων ἐνεβίβαζεν ἐλέφαντας εἴκοσι καὶ τρισχιλίους
having-been-brought he-embarked elephants twenty and three-thousand
ἱππεῖς, πεζοὺς δὲ δισμυρίους καὶ δισχιλίους τοξότας
horse foot and twenty-thousand and two-thousand archers
καὶ σφενδονήτας πεντακοσίους. γενομένων δὲ πάντων
and slingers five-hundred having-become and all
ἑτοίμων ἀναχθεὶς ἔπλει· καὶ μέσον ἔχων τὸν Ἰόνιον
ready having-put-to-sea he-sailed and the-middle holding the Ionian
ἁρπάζεται βορέᾳ ἀνέμῳ παρ᾽ ὥραν ἐκραγέντι. καὶ
is-seized by-a-northern wind out-of season having-broken-out and
βιασθεὶς αὐτὸς μὲν ἀρετῇ καὶ προθυμίᾳ ναυτῶν καὶ
having-been-forced himself indeed by-the-valor and zeal of-the-sailors and
κυβερνητῶν ἐξανέφερε καὶ προσανῆγε τῇ γῇ πολυπόνως
pilots he-recovered and brought-up to-the land with-much-toil
καὶ παραβόλως, τοῦ δὲ ἄλλου στόλου συγχυθέντος
and riskily of-the but other fleet having-been-confounded
καὶ τῶν νεῶν σκεδασθεισῶν αἱ μὲν ἀποσφαλεῖσαι
and the ships having-been-scattered some indeed having-missed
τῆς Ἰταλίας ἐξεώσθησαν εἰς τὸ Λιβυκὸν καὶ Σικελικὸν
— Italy were-driven-out into the Libyan and Sicilian
πέλαγος, τὰς δὲ ὑπερβαλεῖν μὴ δυνηθείσας ἄκραν
sea the-others and to-round not having-been-able cape
Ἰαπυγίαν νύξ τε κατελάμβανε, καὶ πολλὴ καὶ χαλεπὴ
Iapygia night both overtook and much and harsh
θάλασσα παίουσα πρὸς χωρία δύσορμα καὶ τυφλὰ πάσας
sea dashing against places harborless and blind all
διέφθειρε πλὴν τῆς βασιλικῆς. αὕτη δὲ πλαγίου μὲν
destroyed except the royal this but slanting indeed
ἔτι ὄντος τοῦ κύματος ἠμύνετο καὶ διέφευγε μεγέθει καὶ
still being the wave warded-off and escaped by-size and
ῥώμῃ τὰς ἐπιβολὰς τῆς θαλάσσης· ἐπεὶ δὲ περιελθὸν
strength the assaults of-the sea when but having-veered

ἀπὸ γῆς ἀπήντα τὸ πνεῦμα καὶ κίνδυνον εἶχεν ἡ ναῦς
from land met-them the wind and danger had the ship
ἀντίπρῳρος ἱσταμένη πρὸς κλύδωνα πολὺν διαρραγῆναι, τὸ
prow-on standing against surge great to-be-broken-up the
δὲ ἐφέντας αὖθις ἠγριωμένῳ πελάγει καὶ πνεύματι τροπὰς
and having-let-go again to-raging sea and wind shifts
λαμβάνοντι παντοδαπὰς φέρεσθαι φοβερώτερον ἐφαίνετο
taking of-all-kinds to-be-carried more-fearful appeared
τῶν παρόντων κακῶν, ἄρας ὁ Πύρρος αὐτὸν ἀφῆκεν
than-the present evils having-risen — Pyrrhus himself threw
εἰς θάλασσαν, καὶ τῶν φίλων καὶ τῶν δορυφόρων εὐθὺς
into the-sea and of-the friends and of-the bodyguards at-once
ἦν ἅμιλλα καὶ προθυμία περὶ αὐτόν. ἡ δὲ νὺξ καὶ τὸ
there-was rivalry and zeal about him the but night and the
κῦμα μετὰ ψόφου μεγάλου καὶ τραχείας ἀνακοπῆς χαλεπὴν
wave with roar great and harsh recoil difficult
ἐποίει τὴν βοήθειαν, ὥστε μόλις ἡμέρας ἤδη μαραινομένου
made the rescue so-that barely by-day already dying-down
τοῦ πνεύματος ἐκπεσεῖν αὐτὸν ἐπὶ τὴν γῆν, τῷ μὲν
the wind to-have-been-cast-ashore himself on the land in-the indeed
σώματι παντάπασιν ἀδυνάτως ἔχοντα, τόλμῃ δὲ καὶ ῥώμῃ
body altogether helpless being by-daring but and strength
τῆς ψυχῆς ἀνταίροντα πρὸς τὴν ἀπορίαν. ἅμα δὲ οἵ τε
of-the soul holding-out against the distress at-once and the both
Μεσσάπιοι, καθ' οὓς ἐξεβράσθη, συνέθεον βοηθοῦντες
Messapians on whose-shore he-was-thrown ran-together helping
ἐκ τῶν παρόντων προθύμως, καὶ προσεφέροντο τῶν
from the means-at-hand zealously and came-in of-the
σωζομένων ἔνιαι νεῶν, ἐν αἷς ἦσαν ἱππεῖς μὲν ὀλίγοι
surviving some ships in which were horsemen indeed few
παντάπασι, πεζοὶ δὲ δισχιλίων ἐλάττους, ἐλέφαντες δὲ δύο.
altogether foot and two-thousand fewer-than elephants and two

At Tarentum he shut the gymnasia, banned revels, and drilled the citizens. He met Laevinus at the Siris and, seeing the Roman camp, said the barbarians' order was not barbarous. In battle he exchanged armor with Megacles, who was killed, and his elephants won the day at great cost. Cineas went to Rome with gifts and terms, which the senate inclined to accept until old blind Appius Claudius had himself carried in and shamed them; Cineas called the senate a council of many kings.

16 τούτους ἀναλαβὼν ὁ Πύρρος ἐβάδιζεν εἰς Τάραντα. καὶ
these having-taken-up — Pyrrhus went to Tarentum and
τοῦ Κινέου προαγαγόντος εἰς ἀπάντησιν, ὡς ᾔσθετο, τοὺς
— Cineas having-led-out to meet-him when he-perceived the
στρατιώτας, παρελθὼν οὐδὲν ἀκόντων οὐδὲ πρὸς βίαν
soldiers having-entered nothing against-the-will nor by force
ἔπραττε τῶν Ταραντίνων, ἕως ἀνεσώθησαν αἱ νῆες ἐκ τῆς
he-did of-the Tarentines until were-saved the ships from the
θαλάττης καὶ συνῆλθεν ἡ πλείστη τῆς δυνάμεως. τηνικαῦτα
sea and assembled the most of-the force then
δὲ ὁρῶν τὸ πλῆθος ἄνευ μεγάλης ἀνάγκης μήτε σώζεσθαι
but seeing the multitude without great necessity neither to-be-saved
δυνάμενον μήτε σώζειν, ἀλλ' οἷον ἐκείνου προπολεμοῦντος
able nor to-save but as-if him fighting-for-them
οἴκοι καθῆσθαι περὶ λουτρὰ καὶ συνουσίας γενόμενον,
at-home to-sit about baths and social-gatherings having-become
ἀπέκλεισε μὲν τὰ γυμνάσια καὶ τοὺς περιπάτους, ἐν
he-shut indeed the gymnasia and the walks in
οἷς ἀλύοντες ὑπὲρ τῶν πραγμάτων λόγῳ διεστρατήγουν,
which idling about the affairs in-word they-conducted-the-war
πότους δὲ καὶ κώμους καὶ θαλίας ἀκαίρους ἀνεῖλεν,
drinking-parties and and revels and festivities untimely he-abolished
ἐκάλει δὲ πρὸς τὰ ὅπλα, καὶ περὶ τοὺς καταλόγους
he-called and to the arms and about the enlistments

τῶν στρατευομένων ἀπαραίτητος ἦν καὶ λυπηρός, ὥστε
of-the campaigners inexorable was and grievous so-that
πολλοὺς ἐκ τῆς πόλεως ἀπελθεῖν ἀηθείᾳ τοῦ
many from the city to-go-away from-unfamiliarity with-the
ἄρχεσθαι δουλείαν τὸ μὴ πρὸς ἡδονὴν ζῆν καλοῦντας.
being-ruled slavery the not for pleasure to-live calling
ἐπεὶ δὲ Λαιβῖνος ὁ τῶν Ῥωμαίων ὕπατος ἠγγέλλετο
when and Laevinus the of-the Romans consul was-reported
πολλῇ στρατιᾷ χωρεῖν ἐπ᾽ αὐτὸν ἅμα τὴν Λευκανίαν
with-great army to-advance against him at-once — Lucania
διαπορθῶν, οὐδέπω μὲν οἱ σύμμαχοι παρῆσαν αὐτῷ, δεινὸν
ravaging not-yet indeed the allies were-present to-him terrible
δὲ ποιούμενος ἀνασχέσθαι καὶ περιδεῖν τοὺς πολεμίους
but considering-it to-endure and to-overlook the enemies
ἐγγυτέρω προϊόντας ἐξῆλθε μετὰ τῆς δυνάμεως, προπέμψας
nearer advancing he-went-out with the force having-sent-ahead
κήρυκα πρὸς τοὺς Ῥωμαίους, εἰ φίλον ἐστὶν αὐτοῖς πρὸ
a-herald to the Romans if agreeable it-is to-them before
πολέμου δίκας λαβεῖν παρὰ τῶν Ἰταλιωτῶν, αὐτῷ
war satisfaction to-take from the Italiots him
δικαστῇ καὶ διαλλακτῇ χρησαμένους. ἀποκριναμένου δὲ τοῦ
as-judge and arbitrator using having-answered and —
Λαιβίνου μήτε διαλλακτὴν Πύρρον αἱρεῖσθαι Ῥωμαίους μήτε
Laevinus neither as-arbitrator Pyrrhus to-choose Romans nor
δεδοικέναι πολέμιον, προελθὼν κατεστρατοπέδευσεν ἐν τῷ
to-fear-him as-an-enemy having-advanced he-encamped in the
μεταξὺ πεδίῳ Πανδοσίας πόλεως καὶ Ἡρακλείας. πυθόμενος
between plain of-Pandosia city and of-Heraclea having-learned
δὲ τοὺς Ῥωμαίους ἐγγὺς εἶναι καὶ πέραν τοῦ Σίριος
and the Romans near to-be and beyond the Siris
ποταμοῦ καταστρατοπεδεύειν, προσίππευσε τῷ ποταμῷ
river to-be-encamped he-rode-up to-the river

θέας ἕνεκα· καὶ κατιδὼν τάξιν τε καὶ φυλακὰς
of-viewing for-the-sake and having-observed order both and guards
καὶ κόσμον αὐτῶν καὶ τὸ σχῆμα τῆς στρατοπεδείας
and arrangement their and the form of-the encampment
ἐθαύμασε, καὶ τῶν φίλων προσαγορεύσας τὸν ἐγγυτάτω,
he-marveled and of-the friends having-addressed the nearest
"τάξις μέν," εἶπεν, "ὦ Μεγάκλεις, αὕτη τῶν βαρβάρων οὐ
the-order indeed he-said O Megacles this of-the barbarians not
βάρβαρος, τὸ δὲ ἔργον εἰσόμεθα." καὶ διὰ φροντίδος ἔχων
barbarian the but work we-shall-know and in thought having
ἤδη τὸ μέλλον ἔγνω τοὺς συμμάχους ἀναμένειν, τοῖς
already the future he-resolved the allies to-await for-the
δὲ Ῥωμαίοις, ἂν πρότερον ἐπιχειρῶσι διαβαίνειν, ἐπέστησε
and Romans if earlier they-attempt to-cross he-set
φυλακὴν ὑπὲρ τοῦ ποταμοῦ τὴν εἴρξουσαν. οἱ δέ, ἅπερ
a-guard over the river the going-to-bar they but what
ἐκεῖνος ἔγνω περιμένειν, φθῆναι σπεύδοντες, ἐνεχείρουν
he resolved to-wait-for to-anticipate hastening attempted
τῇ διαβάσει, κατὰ πόρον μὲν οἱ πεζοί, πολλαχόθεν δὲ οἱ
the crossing at a-ford indeed the foot from-many-points and the
ἱππεῖς διεξελαύνοντες τὸν ποταμόν, ὥστε δείσαντας τὴν
horse driving-through the river so-that having-feared the
κύκλωσιν ἀναχωρεῖν τοὺς Ἕλληνας, αἰσθόμενον δὲ τὸν
encirclement to-withdraw the Greeks having-perceived and —
Πύρρον καὶ διαταραχθέντα τοῖς μὲν ἡγεμόσι τοῦ πεζοῦ
Pyrrhus and having-been-disturbed to-the indeed commanders of-the infantry
παρεγγυᾶν εὐθὺς εἰς τάξιν καθίστασθαι καὶ περιμένειν ἐν
to-order at-once into array to-form and to-wait in
τοῖς ὅπλοις, αὑτὸν δὲ τοῖς ἱππεῦσι παρεξελάσαι τρισχιλίοις
the arms himself and with-the horse to-ride-out three-thousand
οὖσιν, ἐλπίζοντα διαβαίνοντας ἔτι καὶ διεσπασμένους
being hoping crossing still and scattered

ἀτάκτους λήψεσθαι τοὺς Ῥωμαίους. ἐπεὶ δ' ἑώρα
disorderly to-be-going-to-catch the Romans when but he-saw
θυρεούς τε πολλοὺς ὑπερφαινομένους τοῦ ποταμοῦ καὶ τοὺς
long-shields both many showing-above the river and the
ἱππεῖς ἐπελαύνοντας ἐν τάξει, συστρέψας ἐνέβαλε πρῶτος,
horse charging in order having-massed he-charged first
αὐτόθεν τε περίοπτος ὢν ὅπλων κάλλει καὶ λαμπρότητι
from-there both conspicuous being by-arms' beauty and brilliance
κεκοσμημένων περιττῶς, καὶ τὴν δόξαν ἐπιδεικνύμενος
adorned extraordinarily and the glory showing
ἔργοις οὐκ ἀποδέουσαν αὐτοῦ τῆς ἀρετῆς· μάλιστα δὲ
by-deeds not falling-short of-his the valor most and
ὅτι τὰς χεῖρας καὶ τὸ σῶμα παρέχων τῷ ἀγῶνι καὶ
because the hands and the body offering to-the contest and
τοὺς καθ' αὑτὸν ἀμυνόμενος ἐρρωμένως οὐ συνεχεῖτο
those facing himself warding-off vigorously not was-confounded-in
τὸν λογισμὸν οὐδὲ τοῦ φρονεῖν ἐξέπιπτεν, ἀλλ' ὥσπερ
the reasoning nor from-the being-prudent fell-out but as
ἔξωθεν ἐφορῶν διεκυβέρνα τὸν πόλεμον, αὐτὸς μεταθέων
from-outside overseeing he-steered the war himself running-about
ἑκασταχόσε καὶ παραβοηθῶν τοῖς ἐκβιάζεσθαι δοκοῦσιν.
everywhere and helping those being-forced seeming
ἔνθα δὴ Λεοννάτος ὁ Μακεδὼν ἄνδρα κατιδὼν Ἰταλὸν
there indeed Leonnatus the Macedonian a-man having-observed Italian
ἐπέχοντα τῷ Πύρρῳ καὶ τὸν ἵππον ἀντιπαρεξάγοντα
intent — on-Pyrrhus and the horse riding-out-against
καὶ συμμεθιστάμενον ἀεὶ καὶ συγκινούμενον, "ὁρᾷς,"
and shifting-with always and moving-with do-you-see
εἶπεν, "ὦ βασιλεῦ, τὸν βάρβαρον ἐκεῖνον, ὃν ὁ μέλας
he-said O king the barbarian that whom the black
ἵππος ὁ λευκόπους φέρει; μέγα τι βουλευομένῳ καὶ
horse the white-footed carries great something planning and

δεινὸν ὅμοιός ἐστι. σοὶ γὰρ ἐνορᾷ καὶ πρὸς σὲ τέταται
terrible like he-is on-you for he-looks and at you he-is-strained
πνεύματος μεστὸς ὢν καὶ θυμοῦ, τοὺς δὲ ἄλλους ἐᾷ
of-spirit full being and of-passion the and others he-lets
χαίρειν. ἀλλὰ σὺ φυλάττου τὸν ἄνδρα." καὶ ὁ Πύρρος
to-fare-well but you guard-against the man and — Pyrrhus
ἀπεκρίνατο, "τὸ μὲν εἱμαρμένον, ὦ Λεοννάτε, διαφυγεῖν
answered the indeed fated O Leonnatus to-escape
ἀδύνατον· χαίρων δὲ οὔτε οὗτος οὔτ' ἄλλος τις Ἰταλῶν
impossible with-impunity but neither this-one nor other any of-Italians
εἰς χεῖρας ἡμῖν σύνεισιν." ἔτι ταῦτα προσδιαλεγομένων
into hands with-us will-come still these-things them-conversing
ὁ Ἰταλὸς διαλαβὼν τὸ δόρυ καὶ συστρέψας τὸν ἵππον
the Italian having-gripped the spear and having-wheeled the horse
ὥρμησεν ἐπὶ τὸν Πύρρον. εἶτα ἅμα παίει μὲν αὐτὸς
rushed against — Pyrrhus then at-once strikes indeed himself
τῷ δόρατι τοῦ βασιλέως τὸν ἵππον, παίει δὲ τὸν
with-the spear of-the king the horse strikes and the
ἐκείνου παραβαλὼν ὁ Λεοννάτος. ἀμφοτέρων δὲ τῶν
of-that-one having-ridden-alongside — Leonnatus both and the
ἵππων πεσόντων τὸν μὲν Πύρρον οἱ φίλοι περισχόντες
horses having-fallen — indeed Pyrrhus the friends having-surrounded
ἀνήρπασαν, τὸν δὲ Ἰταλὸν μαχόμενον διέφθειραν. ἦν δὲ
snatched-away the but Italian fighting they-killed was and
τῷ γένει Φρεντανός, ἴλης ἡγεμών, Ὄπλακος ὄνομα.
by-the race a-Frentanian of-a-squadron commander Oplax by-name
17 τοῦτο δὲ ἐδίδαξε τὸν Πύρρον μᾶλλον φυλάττεσθαι· καὶ
this and taught — Pyrrhus more to-be-on-guard and
τοὺς ἱππεῖς ὁρῶν ἐνδιδόντας μετεπέμπετο τὴν φάλαγγα
the horse seeing giving-way he-sent-for the phalanx
καὶ παρέταττεν, αὐτὸς δὲ τὴν χλαμύδα καὶ τὰ ὅπλα
and drew-it-up himself and the cloak and the arms

παραδοὺς ἑνὶ τῶν ἑταίρων Μεγακλεῖ, τοῖς δὲ ἐκείνου
having-given to-one of-the companions Megacles in-the(-things) and his
τρόπον τινὰ κατακρύψας ἑαυτὸν ἐπῆγε τοῖς Ῥωμαίοις.
in-a-way some having-hidden himself he-led-against the Romans
δεξαμένων δὲ ἐκείνων καὶ συμβαλόντων χρόνον τε πολὺν
having-received and them and having-engaged time both long
εἱστήκει τὰ τῆς μάχης ἄκριτα, καὶ τροπὰς ἑπτὰ λέγεται
stood the of-the battle undecided and turns seven it-is-said
φευγόντων ἀνάπαλιν καὶ διωκόντων γενέσθαι. καὶ γὰρ
of-fleeing in-turn and pursuing to-have-occurred and for
ἡ διάμειψις τῶν ὅπλων ἐν καιρῷ πρὸς σωτηρίαν αὐτοῦ
the exchange of-the arms in time for safety his
γεγονυῖα τοῦ βασιλέως ὀλίγον ἐδέησεν ἀνατρέψαι τὰ
having-been of-the king a-little fell-short to-overturn the
πράγματα καὶ διαφθεῖραι τὴν νίκην. πολλῶν γὰρ ἐφιεμένων
affairs and to-destroy the victory many for aiming-at
τοῦ Μεγακλέους, ὁ πρῶτος πατάξας καὶ καταβαλὼν
— Megacles the first having-struck and having-thrown-down
αὐτόν, ὄνομα Δεξόος, ἁφαρπάσας τὸ κράνος καὶ τὴν
him by-name Dexous having-snatched-away the helmet and the
χλαμύδα τῷ Λαιβίνῳ προσίππευσεν ἀναδεικνύων ἅμα καὶ
cloak — to-Laevinus rode-up showing at-once and
βοῶν ἀνῃρηκέναι τὸν Πύρρον. ἦν οὖν παρὰ τὰς τάξεις
shouting to-have-killed — Pyrrhus there-was then along the ranks
τῶν λαφύρων παραφερομένων καὶ ἀναδεικνυμένων τοῖς τε
of-the spoils being-carried-about and shown for-the both
Ῥωμαίοις χαρὰ μετ᾽ ἀλαλαγμοῦ καὶ τοῖς Ἕλλησιν ἀθυμία
Romans joy with war-cry and for-the Greeks despondency
καὶ κατάπληξις, ἄχρι οὗ μαθὼν ὁ Πύρρος τὸ γινόμενον
and consternation until — having-learned — Pyrrhus the happening
παρήλαυνε γυμνῷ τῷ προσώπῳ τήν τε δεξιὰν ὀρέγων
rode-along with-bare the face the both right-hand stretching-out

τοῖς μαχομένοις καὶ τῇ φωνῇ σημαίνων ἑαυτόν. τέλος
to-the fighters and with-the voice making-known himself at-last
δὲ τῶν θηρίων ἐκβιαζομένων μάλιστα τοὺς Ῥωμαίους, καὶ
and the beasts forcing most the Romans and
τῶν ἵππων, πρὶν ἐγγὺς γενέσθαι, δυσανασχετούντων καὶ
the horses before near to-come being-restive and
παραφερόντων τοὺς ἐπιβάτας, ἐπαγαγὼν τὴν Θετταλικὴν
carrying-off the riders having-brought-up the Thessalian
ἵππον αὐτοῖς ταρασσομένοις ἐτρέψατο πολλῷ φόνῳ.
horse on-them being-confused he-routed with-much slaughter
Διονύσιος μὲν οὖν ὀλίγῳ τῶν πεντακισχιλίων καὶ
Dionysius indeed then by-a-little than-the five-thousand and
μυρίων ἐλάσσονας πεσεῖν ἱστορεῖ Ῥωμαίων, Ἱερώνυμος
ten-thousand fewer to-have-fallen records of-Romans Hieronymus
δὲ μόνους ἑπτακισχιλίους, τῶν δὲ περὶ Πύρρον ὁ μὲν
but only seven-thousand of-those and about Pyrrhus — indeed
Διονύσιος μυρίους καὶ τρισχιλίους, ὁ δὲ Ἱερώνυμος
Dionysius ten-thousand and three-thousand — but Hieronymus
ἐλάττονας τῶν τετρακισχιλίων· κράτιστοι δὲ ἦσαν οὗτοι·
fewer than-the four-thousand the-best and were these
καὶ τῶν φίλων ὁ Πύρρος καὶ τῶν στρατηγῶν οἷς μάλιστα
also of-the friends — Pyrrhus and of-the generals whom most
χρώμενος διετέλει καὶ πιστεύων ἀπέβαλεν. οὐ μὴν ἀλλὰ
using he-continued and trusting he-lost not indeed but
καὶ τὸ στρατόπεδον ἔλαβε τῶν Ῥωμαίων ἐκλιπόντων,
also the camp he-took the Romans having-abandoned-it
καὶ πόλεις συμμαχίδας αὐτῶν προσηγάγετο, καὶ χώραν
and cities allied of-theirs he-won-over and country
πολλὴν διεπόρθησε, καὶ προῆλθεν ὅσον μὴ πλέον σταδίων
much ravaged and advanced so-far-as not more than-stades
τριακοσίων ἀποσχεῖν τῆς Ῥώμης. ἀφίκοντο δὲ αὐτῷ
three-hundred to-be-distant-from — Rome came and to-him

Λευκανῶν τε πολλοὶ καὶ Σαυνιτῶν μετὰ τὴν μάχην,
of-Lucanians both many and of-Samnites after the battle
οὓς ἐμέμψατο μὲν ὑστερήσαντας, ἦν δὲ δῆλος ἡδόμενος
whom he-blamed indeed having-come-late was but plain being-pleased
καὶ μέγα φρονῶν ὅτι μόνοις τοῖς μετ' αὐτοῦ καὶ
and greatly proud that alone with-those with him and
Ταραντίνοις ἐκράτησε τῆς μεγάλης Ῥωμαίων δυνάμεως.
with-Tarentines he-conquered the great of-Romans force
Ῥωμαῖοι δὲ Λαβῖνον μὲν οὐκ ἀπήλλαξαν τῆς ἀρχῆς. 18
Romans but Laevinus indeed not removed from-the command
καίτοι λέγεται Γάϊον Φαβρίκιον εἰπεῖν ὡς οὐκ Ἠπειρῶται
and-yet it-is-said Gaius Fabricius to-have-said that not Epirotes
Ῥωμαίους, ἀλλὰ Πύρρος νενικήκοι Λαβῖνον, οἰόμενον οὐ
Romans but Pyrrhus had-conquered Laevinus thinking not
τῆς δυνάμεως, ἀλλὰ τῆς στρατηγίας γεγονέναι τὴν ἥτταν·
of-the force but of-the generalship to-have-been the defeat
ἀναπληροῦντες δὲ τὰς τάξεις καὶ συντάττοντες ἑτέρας
filling-up and the ranks and enrolling others
προθύμως, καὶ λόγους ἀδεεῖς καὶ σοβαροὺς περὶ τοῦ
eagerly and words fearless and haughty about the
πολέμου λέγοντες, ἔκπληξιν τῷ Πύρρῳ παρεῖχον. ἔδοξεν οὖν
war speaking consternation — to-Pyrrhus they-caused it-seemed then
αὐτῷ πέμψαντι πρότερον διάπειραν λαβεῖν τῶν ἀνδρῶν,
to-him having-sent first a-test to-take of-the men
εἰ συμβατικῶς ἔχοιεν, ἡγουμένῳ τὸ μὲν ἑλεῖν τὴν
whether to-terms they-were-disposed considering the indeed to-take the
πόλιν καὶ κρατῆσαι παντάπασιν οὐ μικρὸν ἔργον οὐδὲ τῆς
city and to-master-it altogether not small a-task nor of-the
παρούσης δυνάμεως εἶναι, τὴν δὲ φιλίαν καὶ τὰς διαλύσεις
present force to-be the but friendship and the terms
κάλλιστα ἔχειν πρὸς δόξαν αὐτῷ μετὰ νίκην. πεμφθεὶς
most-honorably to-stand for glory for-him after victory having-been-sent

οὖν ὁ Κινέας ἐνετύγχανε τοῖς δυνατοῖς, καὶ δῶρα παισὶν
then — Cineas met-with the powerful and gifts to-the-children
αὐτῶν καὶ γυναιξὶν ἔπεμψε παρὰ τοῦ βασιλέως. ἔλαβε δὲ
their and wives he-sent from the king took but
οὐδείς, ἀλλ᾽ ἀπεκρίναντο πάντες καὶ πᾶσαι ὅτι δημοσίᾳ
no-one but they-answered all-men and all-women that publicly
σπονδῶν γενομένων καὶ τὰ παρ᾽ αὐτῶν ὑπάρξει
a-treaty having-been-made also the-things from them will-be
πρόθυμα τῷ βασιλεῖ καὶ κεχαρισμένα. πρὸς δὲ τὴν
ready for-the king and welcome to and the
σύγκλητον ἐπαγωγὰ τοῦ Κινέου πολλὰ καὶ φιλάνθρωπα
senate attractive — Cineas many and humane
διαλεχθέντος, ἄσμενοι μὲν οὐδὲν οὐδὲ ἑτοίμως ἐδέχοντο,
having-discoursed gladly indeed nothing nor readily they-received
καίπερ ἄνδρας τε τοὺς ἡλωκότας ἐν τῇ μάχῃ δίχα λύτρων
although men both the captured in the battle without ransoms
ἀφιέντος αὐτοῖς τοῦ Πύρρου καὶ συγκατεργάσασθαι τὴν
releasing to-them — Pyrrhus and to-help-subdue —
Ἰταλίαν ἐπαγγελλομένου, φιλίαν δὲ ἀντὶ τούτων ἑαυτῷ
Italy promising friendship and in-return-for these for-himself
καὶ τοῖς Ταραντίνοις ἄδειαν, ἕτερον δὲ μηδὲν αἰτουμένου.
and for-the Tarentines immunity other and nothing asking
δῆλοί γε μὴν ἦσαν ἐνδιδόντες οἱ πολλοὶ πρὸς τὴν
plain at-least indeed were giving-way the many toward the
εἰρήνην, ἡττημένοι τε μεγάλῃ μάχῃ καὶ προσδοκῶντες
peace having-been-defeated both in-a-great battle and expecting
ἑτέραν ἀπὸ μείζονος δυνάμεως, τῶν Ἰταλικῶν τῷ Πύρρῳ
another from a-greater force the Italians — to-Pyrrhus
προσγεγονότων. ἔνθα δὴ Κλαύδιος Ἄππιος, ἀνὴρ ἐπιφανής,
having-joined there indeed Claudius Appius a-man distinguished
ὑπὸ δὲ γήρως ἅμα καὶ πηρώσεως ὀμμάτων ἀπειρηκὼς
from and old-age at-once and blindness of-eyes having-given-up

πρὸς τὴν πολιτείαν καὶ πεπαυμένος, ἀπαγγελλομένων τότε
on the polity and having-ceased being-reported then
τῶν παρὰ τοῦ βασιλέως καὶ λόγου κατασχόντος ὡς μέλλει
the-things from the king and talk having-prevailed that is-about
ψηφίζεσθαι τὰς διαλύσεις ἡ σύγκλητος, οὐκ ἐκαρτέρησεν,
to-vote the terms the senate not endured
ἀλλὰ τοὺς θεράποντας ἄρασθαι κελεύσας αὑτὸν ἐκομίζετο
but the servants to-lift having-ordered himself was-carried
πρὸς τὸ βουλευτήριον ἐν φορείῳ δι' ἀγορᾶς. γενόμενον
to the senate-house in a-litter through forum having-come
δὲ πρὸς ταῖς θύραις οἱ μὲν παῖδες ἅμα τοῖς γαμβροῖς
and to the doors the indeed sons together-with the sons-in-law
ὑπολαβόντες καὶ περισχόντες εἰσῆγον, ἡ δὲ βουλὴ
having-taken-him-up and having-surrounded led-in the and senate
σιωπὴν αἰδουμένη τὸν ἄνδρα μετὰ τιμῆς ἔσχεν.
silence revering the man with honor kept
ὁ δὲ αὐτόθεν καταστάς, "πρότερον μέν," ἔφη, "τὴν περὶ 19
he and from-there having-stood-up before indeed he-said the about
τὰ ὄμματα τύχην ἀνιαρῶς ἔφερον, ὦ Ῥωμαῖοι, νῦν δὲ
the eyes misfortune grievously I-bore O Romans now but
ἄχθομαι πρὸς τῷ τυφλὸς εἶναι μὴ καὶ κωφὸς ὤν, ἀλλ'
I-am-vexed in-addition-to the blind to-be not also deaf being but
ἀκούων αἰσχρὰ βουλεύματα καὶ δόγματα ὑμῶν ἀνατρέποντα
hearing shameful counsels and decrees of-you overturning
τῆς Ῥώμης τὸ κλέος. ποῦ γὰρ ὑμῶν ὁ πρὸς ἅπαντας
— of-Rome the glory where for of-you the to all
ἀνθρώπους θρυλούμενος ἀεὶ λόγος, ὡς, εἰ παρῆν ἐκεῖνος
men noised-about always word that if had-come that-one
εἰς Ἰταλίαν ὁ μέγας Ἀλέξανδρος καὶ συνηνέχθη νέοις ἡμῖν
into Italy the great Alexander and had-encountered young us
καὶ τοῖς πατράσιν ἡμῶν ἀκμάζουσιν, οὐκ ἂν ὑμνεῖτο
and the fathers our in-their-prime not — he-would-be-celebrated

νῦν ἀνίκητος, ἀλλ' ἢ φυγὼν ἂν ἤ που πεσὼν
now invincible but either having-fled — or somewhere having-fallen
ἐνταῦθα τὴν Ῥώμην ἐνδοξοτέραν ἀπέλιπε; ταῦτα
here — Rome more-glorious he-would-have-left these-things
μέντοι κενὴν ἀλαζονείαν καὶ κόμπον ἀποδείκνυτε, Χάονας
however empty boasting and bluster you-show Chaonians
καὶ Μολοσσούς, τὴν ἀεὶ Μακεδόνων λείαν, δεδιότες, καὶ
and Molossians the always of-Macedonians prey fearing and
τρέμοντες Πύρρον, ὃς τῶν Ἀλεξάνδρου δορυφόρων ἕνα
trembling-at Pyrrhus who of-the of-Alexander bodyguards one
γοῦν ἀεὶ περιέπων καὶ θεραπεύων διατετέλεκε, καὶ νῦν
at-least always courting and serving has-spent-his-life and now
οὐ βοηθῶν τοῖς ἐνταῦθα μᾶλλον Ἕλλησιν ἢ φεύγων τοὺς
not helping the here rather Greeks than fleeing the
ἐκεῖ πολεμίους πλανᾶται περὶ τὴν Ἰταλίαν, ἐπαγγελλόμενος
there enemies he-wanders about — Italy promising
ἡμῖν τὴν ἡγεμονίαν ἀπὸ ταύτης τῆς δυνάμεως ἣ μέρος
us the supremacy from this the force which part
μικρὸν αὐτῷ Μακεδονίας οὐκ ἤρκεσε διαφυλάξαι. μὴ
small for-him of-Macedonia not sufficed to-preserve not
τοῦτον οὖν ἀπαλλάξειν νομίζετε ποιησάμενοι φίλον,
this-one then to-be-going-to-be-rid-of think having-made a-friend
ἀλλὰ ἐκείνους ἐπάξεσθαι καταφρονήσαντας ὑμῶν ὡς
but those to-be-going-to-bring having-despised you as
πᾶσιν εὐκατεργάστων, εἰ Πύρρος ἄπεισι μὴ δοὺς δίκην
by-all easily-subdued if Pyrrhus departs not having-paid penalty
ὧν ὕβρισεν, ἀλλὰ καὶ προσλαβὼν μισθὸν τὸ ἐπεγγελάσαι
for-what he-outraged but even having-received as-wages the to-laugh-at
Ῥωμαίοις Ταραντίνους καὶ Σαυνίτας." τοιαῦτα τοῦ Ἀππίου
Romans Tarentines and Samnites such-things — Appius
διαλεχθέντος ὁρμὴ παρέστη πρὸς τὸν πόλεμον αὐτοῖς,
having-said an-impulse came for the war to-them

καὶ τὸν Κινέαν ἀποπέμπουσιν ἀποκρινάμενοι Πύρρον
and — Cineas they-send-away having-answered Pyrrhus
ἐξελθόντα τῆς Ἰταλίας, οὕτως, εἰ δέοιτο, περὶ φιλίας καὶ
having-gone-out-of — Italy so if he-wished about friendship and
συμμαχίας διαλέγεσθαι, μέχρι δὲ οὗ πάρεστιν ἐν ὅπλοις,
alliance to-confer until and — he-is-present in arms
πολεμήσειν αὐτῷ Ῥωμαίους κατὰ κράτος, κἂν μυρίους ἔτι
to-be-going-to-war with-him Romans with all-might even-if ten-thousand still
Λαιβίνους τρέψηται μαχόμενος. λέγεται δὲ Κινέαν, ἐν ᾧ
Laevinuses he-rout fighting it-is-said and Cineas in which
ταῦτα ἔπραττεν, ἅμα ποιησάμενον ἔργον καὶ σπουδάσαντα
these-things he-was-doing at-once having-made a-task and having-been-zealous
τῶν τε βίων γενέσθαι θεατὴν καὶ τῆς πολιτείας τὴν
of-the both lives to-become spectator and of-the polity the
ἀρετὴν κατανοῆσαι, καὶ διὰ λόγων ἐλθόντα τοῖς ἀρίστοις
excellence to-understand and into talks having-come with-the best
τά τε ἄλλα τῷ Πύρρῳ φράσαι, καὶ εἰπεῖν ὡς ἡ
the both other-things — to-Pyrrhus to-have-told and to-have-said that the
σύγκλητος αὐτῷ βασιλέων πολλῶν συνέδριον φανείη, περὶ
senate to-him of-kings many a-council appeared about
δὲ τοῦ πλήθους δεδιέναι, μὴ πρός τινα φανῶσι Λερναίαν
and the multitude to-fear lest against some they-appear Lernaean
ὕδραν μαχόμενοι· διπλασίους γὰρ ἤδη τῷ ὑπάτῳ τῶν
hydra fighting double for already for-the consul of-the
παρατεταγμένων πρότερον ἠθροῖσθαι, καὶ πολλάκις
having-been-drawn-up before to-have-been-gathered and many-times
εἶναι τοσούτους ἔτι τῶν Ῥωμαίων ὅπλα φέρειν δυναμένους.
to-be so-many still of-the Romans arms to-bear able

Fabricius refused Pyrrhus' gold, was unmoved by an elephant's trunk raised over his head, wished Epicurean doctrine on Rome's enemies, and declined to serve him. The consuls warned Pyrrhus that his physician offered to poison him, and he freed the prisoners without ransom. At Asculum the elephants won a costly victory, and Pyrrhus said another such would ruin him. Called to Sicily and Macedonia at once, he chose Sicily, took the Carthaginians' strongholds, and led the storm of Eryx himself.

20 ἐκ τούτου πρέσβεις ἀφίκοντο περὶ τῶν αἰχμαλώτων οἱ
from this envoys came about the captives those
περὶ Γάϊον Φαβρίκιον, οὗ πλεῖστον ἔφη Ῥωμαίους λόγον
about Gaius Fabricius of-whom most he-said Romans account
ἔχειν ὁ Κινέας ὡς ἀνδρὸς ἀγαθοῦ καὶ πολεμικοῦ, πένητος
to-have — Cineas as of-a-man good and warlike poor
δὲ ἰσχυρῶς τοῦτον οὖν ὁ Πύρρος ἰδίᾳ φιλοφρονούμενος
but exceedingly this-one then — Pyrrhus privately treating-kindly
ἔπειθε λαβεῖν χρυσίον, ἐπ᾽ οὐδενὶ δῆθεν αἰσχρῷ,
tried-to-persuade to-take gold for no forsooth shameful-thing
φιλίας δέ τι καὶ ξενίας ἐπονομάζων τοῦτο σύμβολον.
of-friendship but some and of-hospitality calling this a-token
ἀπωσαμένου δὲ τοῦ Φαβρικίου τότε μὲν ἡσύχασε, τῇ
having-rejected and — Fabricius then indeed he-kept-quiet on-the
δ᾽ ὑστεραίᾳ βουλόμενος αὐτὸν ἐκπλῆξαι μήπω θεατὴν
and next-day wishing him to-astound not-yet a-spectator
ἐλέφαντος γεγενημένον, ἐκέλευσε τῶν θηρίων τὸ μέγιστον
of-an-elephant having-been he-ordered of-the beasts the largest
ἐξόπισθεν αὐτοῖς παραστῆσαι κοινολογουμένοις, αὐλαίαν
behind them to-station conferring a-curtain
παρατείναντας. ἐγένετο δὴ ταῦτα· καὶ σημείου δοθέντος
having-stretched-before were-done indeed these-things and a-signal having-been-given

ἡ μὲν αὐλαία παρήχθη, τὸ δὲ θηρίον ἄφνω τήν τε
the indeed curtain was-drawn-aside the and beast suddenly the both
προνομαίαν ἀράμενον ὑπερέσχε τῆς κεφαλῆς τοῦ Φαβρικίου
trunk having-raised held-it-over the head — of-Fabricius
καὶ φωνὴν ἀφῆκε φοβερὰν καὶ τραχεῖαν. ὁ δὲ ἠρέμα
and a-cry let-go fearful and harsh he but quietly
μεταστραφεὶς καὶ διαμειδιάσας πρὸς τὸν Πύρρον εἶπεν· "οὔτε
having-turned and having-smiled to — Pyrrhus said neither
χθές με τὸ χρυσίον ἐκίνησεν οὔτε σήμερον τὸ θηρίον." ἐν
yesterday me the gold moved nor today the beast at
δὲ τῷ δείπνῳ λόγων παντοδαπῶν γενομένων, πλείστων δὲ
and the dinner talks of-all-kinds having-occurred most and
περὶ τῆς Ἑλλάδος καὶ τῶν φιλοσοφούντων, ἔτυχέ πως
about — Greece and the philosophers it-happened somehow
ὁ Κινέας ἐπιμνησθεὶς τοῦ Ἐπικούρου, καὶ διῆλθεν ἃ
— Cineas having-made-mention — of-Epicurus and went-through what
λέγουσι περὶ θεῶν καὶ πολιτείας καὶ τέλους, τὸ μὲν ἐν
they-say about gods and polity and end the indeed in
ἡδονῇ τιθέμενοι, πολιτείαν δὲ φεύγοντες ὡς βλάβην καὶ
pleasure placing polity and avoiding as a-harm and
σύγχυσιν τοῦ μακαρίου, τὸ δὲ θεῖον ἀπωτάτω χάριτος καὶ
confusion of-the blessed the and divine farthest-from favor and
ὀργῆς καὶ τοῦ μέλειν ἡμῶν εἰς ἀπράγμονα βίον καὶ μεστὸν
anger and the caring-for us into an-untroubled life and full
εὐπαθειῶν ἀποικίζοντες. ἔτι δὲ αὐτοῦ λέγοντος ἀνακραγὼν
of-enjoyments removing still and him speaking having-cried-out
ὁ Φαβρίκιος, "ὦ Ἡράκλεις," εἶπε, "Πύρρῳ τὰ δόγματα
— Fabricius O Heracles he-said to-Pyrrhus the doctrines
μέλοι ταῦτα καὶ Σαυνίταις, ἕως πολεμοῦσι πρὸς
may-be-a-concern these and to-Samnites while they-war against
ἡμᾶς." οὕτω δὴ θαυμάσας τὸ φρόνημα τοῦ ἀνδρὸς καὶ τὸ
us so indeed having-admired the spirit of-the man and the

ἦθος ὁ Πύρρος ἔτι μᾶλλον ὠρέγετο φιλίαν ἀντὶ πολέμου
character — Pyrrhus still more yearned friendship instead-of war
πρὸς τὴν πόλιν αὐτῷ γενέσθαι· κἀκεῖνον ἰδίᾳ παρεκάλει
toward the city for-him to-become and-him privately urged
ποιησάμενον τὰς διαλύσεις ἕπεσθαι καὶ συζῆν μετ᾽ αὐτοῦ,
having-made the terms to-follow and to-live with him
πρῶτον ὄντα πάντων τῶν ἑταίρων καὶ τῶν στρατηγῶν.
first being of-all the companions and the generals
ὁ δὲ ἡσυχῇ λέγεται πρὸς αὐτὸν εἰπεῖν, “ἀλλ᾽ οὐδὲ σοὶ
he but quietly is-said to him to-have-said but not-even for-you
τοῦτο, βασιλεῦ, λυσιτελές ἐστιν· αὐτοὶ γὰρ οἱ νῦν σε
this king advantageous is themselves for those now you
τιμῶντες καὶ θαυμάζοντες, ἂν ἐμοῦ πεῖραν λάβωσιν, ὑπ᾽ ἐμοῦ
honoring and admiring if of-me trial they-take by me
μᾶλλον ἐθελήσουσιν ἢ σοῦ βασιλεύεσθαι·” τοιοῦτος μὲν
rather will-wish than by-you to-be-ruled such indeed
ὁ Φαβρίκιος. ὁ δὲ Πύρρος οὐ πρὸς ὀργὴν οὐδὲ τυραννικῶς
— Fabricius — but Pyrrhus not in anger nor tyrannically
ἐδέξατο τὸν λόγον, ἀλλὰ καὶ τοῖς φίλοις ἀπήγγειλε τοῦ
received the word but also to-the friends reported —
Φαβρικίου τὴν μεγαλοφροσύνην, καὶ τοὺς αἰχμαλώτους
of-Fabricius the magnanimity and the captives
ἐκείνῳ μόνῳ διεπίστευσεν, ὅπως, εἰ μὴ ψηφίσαιτο τὴν
to-him alone he-entrusted that if not should-vote the
εἰρήνην ἡ σύγκλητος, ἀσπασάμενοι τοὺς προσήκοντας
peace the senate having-embraced the kin
καὶ τὰ Κρόνια διεορτάσαντες ἀποπεμφθεῖεν πάλιν πρὸς
and the Saturnalia having-celebrated they-should-be-sent-back again to
αὐτόν. καὶ ἀπεπέμφθησαν μετὰ τὴν ἑορτήν, τῷ
him and they-were-sent-back after the festival for-the(-one)
ὑπολειφθέντι τῆς βουλῆς ζημίαν θάνατον ψηφισαμένης.
having-stayed-behind the senate penalty death having-voted

μετὰ ταῦτα τοῦ Φαβρικίου τὴν ἀρχὴν παραλαβόντος ἦκεν 21
after these-things — Fabricius the command having-received came
ἀνὴρ εἰς τὸ στρατόπεδον πρὸς αὐτὸν ἐπιστολὴν κομίζων,
a-man into the camp to him a-letter bringing
ἣν ἔγραψεν ὁ τοῦ βασιλέως ἰατρὸς ἐπαγγελλόμενος
which wrote the of-the king physician promising
φαρμάκοις ἀναιρήσειν τὸν Πύρρον, εἰ χάρις αὐτῷ παρ᾽
by-poisons to-be-going-to-kill — Pyrrhus if favor to-him from
ἐκείνων ὁμολογηθείη λύσαντι τὸν πόλεμον ἀκινδύνως. ὁ δὲ
them should-be-agreed having-ended the war without-danger — and
Φαβρίκιος δυσχεράνας πρὸς τὴν ἀδικίαν τοῦ ἀνθρώπου,
Fabricius having-been-disgusted at the wickedness of-the man
καὶ τὸν συνάρχοντα διαθεὶς ὁμοίως, ἔπεμψε γράμματα
and the colleague having-disposed likewise sent letters
πρὸς τὸν Πύρρον κατὰ τάχος φυλάττεσθαι τὴν ἐπιβουλὴν
to — Pyrrhus with speed to-guard-against the plot
κελεύων. εἶχε δὲ οὕτως τὰ γεγραμμένα· “Γάϊος Φαβρίκιος
bidding stood and thus the written Gaius Fabricius
καὶ Κόιντος Αἰμίλιος ὕπατοι Ῥωμαίων Πύρρῳ βασιλεῖ
and Quintus Aemilius consuls of-Romans to-Pyrrhus king
χαίρειν. οὔτε φίλων εὐτυχὴς ἔοικας εἶναι κριτὴς οὔτε
greeting neither of-friends fortunate you-seem to-be a-judge nor
πολεμίων. γνώσῃ δὲ τὴν πεμφθεῖσαν ἡμῖν ἐπιστολὴν
of-enemies you-will-know and the sent to-us letter
ἀναγνούς, ὅτι χρηστοῖς καὶ δικαίοις ἀνδράσι πολεμεῖς,
having-read that with-good and just men you-war
ἀδίκοις δὲ καὶ κακοῖς πιστεύεις. οὐδὲ γὰρ ταῦτα
in-unjust but and bad you-trust not-even for these-things
σῇ χάριτι μηνύομεν, ἀλλ᾽ ὅπως μὴ τὸ σὸν πάθος
for-your favor we-reveal but so-that not the your misfortune
ἡμῖν διαβολὴν ἐνέγκῃ καὶ δόλῳ δόξωμεν, ὡς ἀρετῇ μὴ
to-us slander may-bring and by-guile we-may-seem as by-valor not

δυνάμενοι, κατεργάσασθαι τὸν πόλεμον." ἐντυχὼν τούτοις
being-able to-finish the war having-met-with these
τοῖς γράμμασιν ὁ Πύρρος καὶ τὴν ἐπιβουλὴν ἐξελέγξας
the letters — Pyrrhus and the plot having-proved
τὸν μὲν ἰατρὸν ἐκόλασε, Φαβρικίῳ δὲ καὶ Ῥωμαίοις
the indeed physician he-punished to-Fabricius and and Romans
ἀμοιβὴν ἐδωρεῖτο προῖκα τοὺς αἰχμαλώτους, καὶ πάλιν
as-a-return gave without-ransom the captives and again
ἔπεμψε τὸν Κινέαν διαπραξόμενον αὐτῷ τὴν εἰρήνην. οἱ δὲ
sent — Cineas going-to-negotiate for-him the peace the but
Ῥωμαῖοι, μήτε εἰ χάρις ἐστὶ παρὰ πολεμίου, μήτε εἰ μισθὸς
Romans neither if a-favor it-is from an-enemy nor if pay
τοῦ μὴ ἀδικηθῆναι, λαβεῖν προῖκα τοὺς ἄνδρας ἀξιώσαντες
for-the not to-be-wronged to-take for-nothing the men having-thought-fit
ἴσους ἀπέλυσαν αὐτῷ Ταραντίνων καὶ Σαυνιτῶν, περὶ
equal-numbers released to-him of-Tarentines and Samnites about
δὲ φιλίας καὶ εἰρήνης οὐδὲν εἴων διαλέγεσθαι πρὶν
and friendship and peace nothing they-allowed to-discuss before
ἀράμενος τὰ ὅπλα καὶ τὸν στρατὸν ἐξ Ἰταλίας αἷς
having-taken-up the arms and the army from Italy in-which
ἦλθε ναυσὶν ἀποπλεύσῃ πάλιν εἰς Ἤπειρον. ἐκ τούτου
he-came ships he-sail-away again to Epirus from this
μάχης ἄλλης τῶν πραγμάτων αὐτῷ δεομένων ἀναλαβὼν τὴν
battle another the affairs for-him needing having-taken-up the
στρατιὰν ἐχώρει, καὶ περὶ Ἄσκλον πόλιν τοῖς Ῥωμαίοις
army he-advanced and near Asculum city with-the Romans
συνάψας καὶ βιαζόμενος πρὸς χωρία δύσιππα καὶ ποταμὸν
having-engaged and being-forced into places bad-for-horses and a-river
ὑλώδη καὶ τραχύν, ἔφοδον τῶν θηρίων οὐ λαβόντων ὥστε
wooded and rough approach the beasts not having-got so-that
προσμῖξαι τῇ φάλαγγι, τραυμάτων πολλῶν γενομένων
to-close with-the phalanx wounds many having-occurred

καὶ νεκρῶν πεσόντων, τότε μὲν διεκρίθη μέχρι νυκτὸς
and dead having-fallen then indeed he-was-parted until night
ἀγωνισάμενος. τῇ δ' ὑστεραίᾳ στρατηγῶν δι' ὁμαλοῦ τὴν
having-fought on-the and next-day maneuvering on level-ground the
μάχην θέσθαι καὶ τοὺς ἐλέφαντας ἐν τοῖς ὅπλοις γενέσθαι
battle to-make and the elephants among the arms to-be
τῶν πολεμίων, προέλαβε τὰς δυσχωρίας φυλακῇ, καὶ
of-the enemies he-seized-beforehand the rough-places with-a-guard and
πολλὰ καταμίξας ἀκοντίσματα καὶ τοξεύματα τοῖς θηρίοις
many having-mixed javelin-men and archers with-the beasts
ἐπῆγε μετὰ ῥώμης καὶ βίας πυκνὴν καὶ συντεταγμένην
he-led with strength and force dense and drawn-up
τὴν δύναμιν. οἱ δὲ Ῥωμαῖοι τὰς διακλίσεις καὶ τὰς
the force the but Romans the side-movements and the
ἀντιπαραγωγὰς τὰς πρότερον οὐκ ἔχοντες, ἐξ ἐπιπέδου
counter-maneuvers the before not having from level-ground
συνεφέροντο κατὰ στόμα· καὶ σπεύδοντες ὥσασθαι τοὺς
engaged face-to face and hastening to-push-back the
ὁπλίτας πρὶν ἐπιβῆναι τὰ θηρία, δεινοὺς περὶ τὰς σαρίσας
hoplites before to-come-on the beasts terrible about the pikes
τῶν ξιφῶν ἀγῶνας εἶχον, ἀφειδοῦντες ἑαυτῶν καὶ τὸ τρῶσαι
of-the swords contests they-had sparing-not themselves and the to-wound
καὶ καταβαλεῖν ὁρῶντες, τὸ δὲ παθεῖν εἰς οὐδὲν τιθέμενοι.
and to-strike-down looking-to the but to-suffer at nothing counting
χρόνῳ δὲ πολλῷ λέγεται μὲν ἀρχὴ τροπῆς κατ' αὐτὸν
in-time and much is-said indeed the-beginning of-rout at himself
γενέσθαι τὸν Πύρρον ἐπερείσαντα τοῖς ἀντιτεταγμένοις, τὸ
to-have-come — Pyrrhus having-pressed on-those opposed the
δὲ πλεῖστον ἀλκῇ καὶ βίᾳ τῶν ἐλεφάντων κατειργάσατο,
but most by-strength and force of-the elephants he-achieved
χρήσασθαι τῇ ἀρετῇ πρὸς τὴν μάχην τῶν Ῥωμαίων
to-use the valor in the battle the Romans

μὴ δυναμένων, ἀλλ᾽ οἷον ἐφόδῳ κύματος ἢ σεισμοῦ
not being-able but as-if at-onset of-a-wave or earthquake
κατερείποντος οἰομένων δεῖν ἐξίστασθαι, μηδὲ ὑπομένειν
overthrowing thinking it-needful to-give-way nor to-stay
ἀπράκτους ἀποθνήσκειν, ἐν τῷ μηδὲν ὠφελεῖν πάντα
helpless to-die in the nothing helping all
πάσχοντας τὰ χαλεπώτατα. τῆς δὲ φυγῆς οὐ μακρᾶς
suffering the most-grievous-things of-the but flight not long
εἰς τὸ στρατόπεδον γενομένης ἑξακισχιλίους ἀποθανεῖν
into the camp having-been six-thousand to-have-died
φησι τῶν Ῥωμαίων Ἱερώνυμος, τῶν δὲ περὶ Πύρρον
says of-the Romans Hieronymus of-those and about Pyrrhus
ἐν τοῖς βασιλικοῖς ὑπομνήμασιν ἀνενεχθῆναι τρισχιλίους
in the royal memoirs to-have-been-recorded three-thousand
πεντακοσίους καὶ πέντε τεθνηκότας. ὁ μέντοι Διονύσιος
five-hundred and five having-died — however Dionysius
οὔτε δύο περὶ Ἄσκλον μάχας οὔτε ὁμολογουμένην ἥτταν
neither two at Asculum battles nor acknowledged defeat
ἱστορεῖ γενέσθαι Ῥωμαίων, ἅπαξ δὲ μέχρι δυσμῶν
records to-have-been of-Romans once but until setting
ἡλίου μαχεσαμένους μόλις ἀπαλλαγῆναι, τοῦ Πύρρου
of-sun having-fought barely to-have-parted — Pyrrhus
τρωθέντος ὑσσῷ τὸν βραχίονα καὶ τὴν ἀποσκευὴν
having-been-wounded with-a-javelin the arm and the baggage
ἅμα Δαυνίων διαρπασάντων, ἀποθανεῖν δὲ καὶ Πύρρου
at-once Daunians having-plundered to-have-died and also of-Pyrrhus
καὶ Ῥωμαίων ἄνδρας ὑπὲρ μυρίους πεντακισχιλίους
and of-Romans men over ten-thousand five-thousand
ἑκατέρων. διελύθησαν δὲ ἀμφότεροι· καὶ λέγεται τὸν
of-each they-separated and both and it-is-said —
Πύρρον εἰπεῖν πρός τινα τῶν συνηδομένων αὐτῷ,
Pyrrhus to-have-said to one of-those rejoicing-with him

"ἂν ἔτι μίαν μάχην Ῥωμαίους νικήσωμεν, ἀπολούμεθα
if still one battle Romans we-conquer we-shall-perish
παντελῶς." πολὺ μὲν γὰρ ἀπωλώλει μέρος ἧς ἄγων
utterly much indeed for had-perished part of-which leading
ἦκε δυνάμεως, φίλοι δὲ καὶ στρατηγοὶ πλὴν ὀλίγων
he-came the-force friends and and generals except few
ἅπαντες, μεταπέμπεσθαι δὲ οὐκ ἦσαν ἕτεροι, καὶ τοὺς
all to-send-for and not there-were others and the
αὐτόθι συμμάχους ἀμβλυτέρους ἑώρα, τοῖς δὲ Ῥωμαίοις
there allies duller he-saw for-the but Romans
ὥσπερ ἐκ πηγῆς οἴκοθεν ἐπιρρεούσης ἀναπληρούμενον
as from a-spring from-home flowing being-filled-up
εὐπόρως καὶ ταχὺ τὸ στρατόπεδον, καὶ ταῖς ἥτταις
readily and quickly the camp and by-the defeats
οὐκ ἀποβάλλοντας τὸ θαρρεῖν, ἀλλὰ καὶ ῥώμην καὶ
not losing the courage but even strength and
φιλονεικίαν ὑπ᾽ ὀργῆς ἐπὶ τὸν πόλεμον προσλαμβάνοντας.
contentiousness from anger for the war gaining
ἐν τοιαύταις δὲ ὢν ἀπορίαις εἰς ἐλπίδας αὖ πάλιν καινὰς 22
in such and being difficulties into hopes again afresh new
ἐνέπεσε καὶ πράγματα διχοστασίαν ἔχοντα τῆς γνώμης.
he-fell and affairs division having of-the mind
ἅμα γὰρ ἦκον ἐκ μὲν Σικελίας ἄνδρες Ἀκράγαντα
at-once for came from indeed Sicily men Acragas
καὶ Συρακούσας καὶ Λεοντίνους ἐγχειρίζοντες αὐτῷ, καὶ
and Syracuse and Leontini entrusting to-him and
δεόμενοι Καρχηδονίους τε συνεκβαλεῖν καὶ τῶν τυράννων
begging Carthaginians both to-help-expel and of-the tyrants
ἀπαλλάξαι τὴν νῆσον, ἐκ δὲ τῆς Ἑλλάδος ἀγγέλλοντες
to-rid the island from and — Greece reporting
ὡς Πτολεμαῖος ὁ Κεραυνὸς ἀπόλωλε συμπεσὼν Γαλάταις
that Ptolemy the Thunderbolt has-perished having-clashed with-Gauls

μετὰ τῆς δυνάμεως, καὶ νῦν ἂν ἐν καιρῷ μάλιστα
with the force and now — at the-moment most
δεομένοις βασιλέως Μακεδόσι παραγένοιτο. πολλὰ δὴ
needing a-king to-Macedonians he-might-come many-things indeed
τὴν τύχην μεμψάμενος ὅτι πράξεων μεγάλων ὑποθέσεις
the fortune having-blamed because of-deeds great occasions
εἰς ἕνα καιρὸν αὐτῷ συνήνεγκε, καὶ νομίζων ὡς
into one moment to-him it-brought-together and thinking that
ἀμφοτέρων ὑπαρχόντων ἀπολλύναι θάτερον, διηνέχθη τοῖς
both being-present to-lose the-other he-was-torn in-the
λογισμοῖς πολὺν χρόνον. εἶτα τοῖς Σικελικοῖς μειζόνων
reasonings long time then in-the Sicilian(-affairs) greater
ὑποκεῖσθαι πραγμάτων δοκούντων, Λιβύης ἐγγὺς εἶναι
to-underlie affairs seeming Libya near to-be
δοκούσης, ἐπὶ ταῦτα τρέψας Κινέαν μὲν εὐθὺς ἐξέπεμψε
seeming to these-things having-turned Cineas indeed at-once sent-out
προδιαλεξόμενον, ὥσπερ εἰώθει, ταῖς πόλεσιν, αὐτὸς
going-to-negotiate-beforehand as he-was-accustomed with-the cities himself
δὲ τοῖς Ταραντίνοις δυσανασχετοῦσιν ἐμβαλὼν φρουράν,
and on-the Tarentines being-resentful having-thrown-in a-garrison
καὶ ἀξιοῦσιν ἢ παρέχειν ἐφ' οἷς ἦκε, συμπολεμοῦντα
and claiming either to-provide on which-terms he-came warring-with-them
Ῥωμαίοις, ἢ τὴν χώραν προέμενον αὐτῶν ἀπολιπεῖν
against-Romans or the country having-abandoned of-them to-leave
τὴν πόλιν οἵαν παρέλαβε, μηδὲν ἐπιεικὲς ἀποκρινάμενος,
the city such-as he-received nothing reasonable having-answered
ἀλλὰ προστάξας ἡσυχίαν ἄγειν καὶ περιμένειν τὸν ἑαυτοῦ
but having-ordered quiet to-keep and to-await the his-own
καιρόν, ἐξέπλευσεν. ἁψαμένῳ δὲ αὐτῷ Σικελίας ἃ
moment he-sailed-off having-touched and him Sicily what-things
μὲν ἤλπισεν εὐθὺς ἀπήντα βέβαια, καὶ παρεῖχον αἱ πόλεις
indeed he-hoped at-once met-him secure and offered the cities

ἑαυτὰς προθύμως, τῶν δὲ ἀγῶνος καὶ βίας δεηθέντων οὐδὲν
themselves eagerly of-the and contest and force needing nothing
ἀντεῖχε τὸ πρῶτον, ἀλλὰ τρισμυρίοις πεζοῖς καὶ δισχιλίοις
held-out the first but with-thirty-thousand foot and two-thousand
πεντακοσίοις ἱππεῦσι καὶ διακοσίαις ναυσὶν ἐπιὼν τούς τε
five-hundred horse and two-hundred ships advancing the both
Φοίνικας ἐξήρει καὶ κατεστρέφετο τὴν ἐπικράτειαν αὐτῶν.
Phoenicians he-drove-out and subdued the province of-them
τοῦ δ᾽ Ἔρυκος ἐχυρωτάτου τῶν χωρίων ὄντος καὶ πολλοὺς
— and of-Eryx strongest of-the places being and many
ἀμυνομένους ἔχοντος ἔγνω βιάζεσθαι πρὸς τὰ τείχη. καὶ
defenders having he-resolved to-force toward the walls and
τῆς στρατιᾶς γενομένης ἑτοίμης ἐνεδύσατο τὴν πανοπλίαν,
of-the army having-become ready he-put-on the full-armor
καὶ προελθὼν εὔξατο τῷ Ἡρακλεῖ ποιήσειν ἀγῶνα
and having-come-forward vowed — to-Heracles to-be-going-to-make games
καὶ θυσίαν ἀριστεῖον, ἂν τοῦ γένους καὶ τῶν ὑπαρχόντων
and sacrifice of-valor if of-the race and of-the present
ἄξιον ἀγωνιστὴν αὑτὸν ἀποδείξῃ τοῖς Σικελίαν οἰκοῦσιν
worthy a-competitor himself he-show to-the Sicily inhabiting
Ἕλλησι· τῇ δὲ σάλπιγγι σημήνας καὶ τοῖς βέλεσι τοὺς
Greeks with-the and trumpet having-signaled and with-the missiles the
βαρβάρους ἀνασκεδάσας καὶ τὰς κλίμακας προσαγαγὼν
barbarians having-scattered and the ladders having-brought-up
πρῶτος ἐπέβη τοῦ τείχους. ἀντιστάντων δὲ πολλῶν
first mounted the wall having-opposed and many
ἀμυνόμενος τοὺς μὲν ἐξέωσε τοῦ τείχους ἐπ᾽ ἀμφότερα
warding-off the-ones indeed he-thrust-off the wall on both-sides
καὶ κατέβαλε, πλείστους δὲ περὶ αὑτὸν τῷ ξίφει χρώμενος
and struck-down most and about himself the sword using
ἐσώρευσε νεκρούς. ἔπαθε δὲ αὐτὸς οὐδέν, ἀλλὰ καὶ προσιδεῖν
heaped-up dead suffered and himself nothing but even to-look-at

δεινὸς ἐφάνη τοῖς πολεμίοις, καὶ τὸν Ὅμηρον ἔδειξεν
terrible appeared to-the enemies and — Homer showed
ὀρθῶς καὶ μετὰ ἐμπειρίας ἀποφαίνοντα τῶν ἀρετῶν μόνην
rightly and with experience declaring of-the virtues alone
τὴν ἀνδρείαν φορὰς πολλάκις ἐνθουσιώδεις καὶ μανικὰς
the courage transports often inspired and frenzied
φερομένην. ἁλούσης δὲ τῆς πόλεως ἔθυσέ τε τῷ θεῷ
carried having-been-taken and the city sacrificed both to-the god
μεγαλοπρεπῶς καὶ θέας ἀγώνων παντοδαπῶν παρέσχε.
magnificently and spectacles of-contests of-all-kinds provided

23–25 · SICILY LOST AND BENEVENTUM

He beat the Mamertines and, set on Libya, refused Carthage's terms, but harshness to the cities and Thoenon's killing turned the island against him; he left calling it a wrestling ground for Carthage and Rome. Sailing back, he lost ships to Carthage and was harried by the Mamertines; he cut a challenger in two at one blow. At Beneventum his night march on Manius Curius went astray, and his elephants, turned on his lines, lost the battle that gave Rome Italy, then Sicily.

23 τῶν δὲ περὶ Μεσσήνην βαρβάρων, Μαμερτίνων δὲ
of-the and about Messana barbarians Mamertines and
καλουμένων, πολλὰ τοῖς Ἕλλησιν ἐνοχλούντων, ἐνίους
called much the Greeks troubling some
δὲ καὶ φόρου πεποιημένων ὑποτελεῖς, πολλῶν δὲ καὶ
and also to-tribute having-made subject many and also
μαχίμων ὄντων, διὸ καὶ προσηγορεύθησαν Ἀρήιοι
warlike being wherefore also they-were-named Martians
γλώσσῃ τῇ Λατίνων, τοὺς μὲν φορολόγους συλλαβὼν
in-tongue the of-Latins the indeed tribute-collectors having-seized
ἀπέκτεινεν, αὐτοὺς δὲ νικήσας μάχῃ πολλὰ τῶν φρουρίων
he-killed them and having-defeated in-battle many of-the forts

ἐξέκοψε. Καρχηδονίοις δὲ συμβατικῶς ἔχουσι, καὶ χρήματα
he-razed to-Carthaginians and to-terms disposed and money
βουλομένοις τελεῖν, εἰ γένοιτο φιλία, καὶ ναῦς ἀποστέλλειν,
wishing to-pay if there-should-be friendship and ships to-send
ἀπεκρίνατο πλειόνων ἐφιέμενος μίαν εἶναι διάλυσιν καὶ
he-answered more desiring one to-be settlement and
φιλίαν πρὸς αὐτούς, εἰ πᾶσαν ἐκλιπόντες Σικελίαν ὅρῳ
friendship with them if all having-abandoned Sicily as-boundary
χρῷντο τῇ Λιβυκῇ θαλάσσῃ πρὸς τοὺς Ἕλληνας.
they-should-use the Libyan sea toward the Greeks
εὐτυχίᾳ δὲ καὶ ῥώμῃ τῶν παρόντων ἐπαιρόμενος, καὶ
by-good-fortune and and strength of-the present-things being-elated and
διώκων τὰς ἐλπίδας ἐφ᾽ αἷς ἀπ᾽ ἀρχῆς ἔπλευσε, πρώτης
pursuing the hopes for which from the-beginning he-sailed first
δὲ Λιβύης ἐφιέμενος καὶ ναῦς ἔχων πολλὰς πληρωμάτων
and Libya desiring and ships having many of-crews
ἐπιδεεῖς ἤγειρεν ἐρέτας, οὐκ ἐπιεικῶς ἐντυγχάνων οὐδὲ
lacking he-raised rowers not reasonably dealing nor
πράως ταῖς πόλεσιν, ἀλλὰ δεσποτικῶς καὶ πρὸς ὀργὴν
gently with-the cities but despotically and in anger
βιαζόμενος καὶ κολάζων, οὐκ εὐθὺς ὢν οὐδὲ ἐν ἀρχῇ
forcing and punishing not at-once being nor at the-beginning
τοιοῦτος, ἀλλὰ καὶ μᾶλλον ἑτέρων τῷ πρὸς χάριν ὁμιλεῖν
such but even more than-others by-the for favor to-converse
καὶ πάντα πιστεύειν καὶ μηδὲν ἐνοχλεῖν ὑπαγόμενος,
and all to-trust and nothing to-trouble winning-over
εἶτα γινόμενος ἐκ δημαγωγοῦ τύραννος ἀχαριστίας τῇ
then becoming from demagogue tyrant of-ingratitude by-the
χαλεπότητι καὶ ἀπιστίας προσωφλίσκανε δόξαν. οὐ
harshness and of-faithlessness incurred-besides a-reputation not
μὴν ἀλλὰ ταῦτα μὲν ὡς ἀναγκαῖα συνεχώρουν, καίπερ
indeed but these-things indeed as necessary they-conceded although

δυσφοροῦντες· ἐπεὶ δὲ Θοίνωνα καὶ Σωσίστρατον, ἄνδρας
being-resentful when and Thoenon and Sosistratus men
ἡγεμονικοὺς ἐν Συρακούσαις, οἳ πρῶτοι μὲν αὐτὸν ἐλθεῖν
of-leading-rank in Syracuse who first indeed him to-come
ἔπεισαν εἰς Σικελίαν, ἐλθόντι δὲ τὴν πόλιν εὐθὺς ἐνεχείρισαν
persuaded into Sicily having-come and the city at-once entrusted
καὶ πλεῖστα συγκατειργάσαντο τῶν Σικελικῶν, μήτε ἄγειν
and most helped-to-achieve of-the Sicilian-affairs neither to-bring
σὺν αὑτῷ μήτε ἀπολείπειν βουλόμενος ἐν ὑποψίαις εἶχε,
with himself nor to-leave-behind wishing in suspicions he-held
καὶ Σωσίστρατος μὲν ἀπέστη φοβηθείς, Θοίνωνα δὲ τὰ
and Sosistratus indeed revolted having-feared Thoenon and the
αὐτὰ φρονεῖν αἰτιασάμενος ἀπέκτεινεν, οὐ κατὰ μικρὸν
same-things to-think having-accused he-killed not by little
οὐδὲ καθ' ἓν αὐτῷ μεθίστατο τῶν πραγμάτων, ἀλλὰ δεινοῦ
nor by one for-him changed of-the affairs but terrible
τινος μίσους ἐγγενομένου ταῖς πόλεσι πρὸς αὐτὸν αἱ μὲν
some hatred having-arisen in-the cities toward him some indeed
προσετίθεντο Καρχηδονίοις, αἱ δὲ ἐπήγοντο Μαμερτίνους.
joined Carthaginians others and brought-in Mamertines
ἀποστάσεις δὲ ὁρῶν ἅπαντα καὶ νεωτερισμοὺς καὶ
revolts and seeing everywhere and innovations and
σύστασιν ἰσχυρὰν ἐφ' αὑτόν, ἐδέξατο γράμματα Σαυνιτῶν
combination strong against himself he-received letters of-Samnites
καὶ Ταραντίνων μόλις ἀντεχόντων ταῖς πόλεσιν αὐταῖς
and Tarentines barely holding-out in-the cities themselves
πρὸς τὸν πόλεμον, εἰργομένων δὲ τῆς χώρας ἁπάσης καὶ
for the war being-shut-out and of-the country all and
δεομένων βοηθεῖν. τοῦτο δὲ ἦν εὐπρέπεια μὴ φυγὴν εἶναι
begging to-help this and was a-pretext not flight to-be
μηδὲ ἀπόγνωσιν τὸν ἀπόπλουν τῶν αὐτόθι πραγμάτων·
nor despair the sailing-away of-the there affairs

τὸ δὲ ἀληθὲς οὐ δυνάμενος κρατεῖν Σικελίας ὥσπερ νεὼς
the but truth not being-able to-master Sicily as a-ship
ταραχθείσης, ἀλλ' ἔκβασιν ζητῶν, αὖθις ἔρριψεν ἑαυτὸν εἰς
storm-tossed but a-way-out seeking again he-threw himself into
Ἰταλίαν. λέγεται δ' ἀπαλλαττόμενος ἤδη πρὸς τὴν νῆσον
Italy is-said and departing already toward the island
ἀπιδὼν εἰπεῖν τοῖς περὶ αὐτόν· "οἵαν ἀπολείπομεν,
having-looked-back to-have-said to-those about him what-a we-leave
ὦ φίλοι, Καρχηδονίοις καὶ Ῥωμαίοις παλαίστραν." καὶ
O friends for-Carthaginians and Romans wrestling-ground and
τοῦτο μέν, ὥσπερ εἰκάσθη, μετ' οὐ πολὺν χρόνον ἐγένετο.
this indeed as was-guessed after not long time happened
τῶν δὲ βαρβάρων συστάντων ἐπ' αὐτὸν ἀποπλέοντα, 24
of-the and barbarians having-combined against him sailing-away
Καρχηδονίοις μὲν ἐν τῷ πορθμῷ ναυμαχήσας ἀπέβαλε
with-Carthaginians indeed in the strait having-fought-at-sea he-lost
τῶν νεῶν πολλάς, ταῖς δ' ἄλλαις κατέφυγε πρὸς
of-the ships many with-the and others he-fled to
τὴν Ἰταλίαν, Μαμερτῖνοι δὲ μυρίων οὐκ ἐλάττους
— Italy Mamertines and than-ten-thousand not fewer
προδιαβάντες ἀντιτάξασθαι μὲν ἐφοβήθησαν, ἐν δὲ ταῖς
having-crossed-first to-array-against indeed feared in but the
δυσχωρίαις ἐπιτιθέμενοι καὶ προσπίπτοντες ἅπαν τὸ
rough-places attacking and falling-upon all the
στράτευμα συνετάραξαν. ἔπεσε δὲ δύο θηρία καὶ συχνοὶ
army threw-into-confusion fell and two beasts and many
τῶν ὀπισθοφυλακούντων ἀπέθνῃσκον. αὐτὸς οὖν ἀπὸ τοῦ
of-the rear-guard were-dying himself then from the
στόματος παρελάσας ἠμύνετο καὶ διεκινδύνευε πρὸς ἄνδρας
van having-ridden-up warded-off and ran-risks against men
ἠσκημένους μάχεσθαι καὶ θυμοειδεῖς. πληγεὶς δὲ τὴν
trained to-fight and spirited struck and on-the

κεφαλὴν ξίφει καὶ μικρὸν ἐκ τῶν μαχομένων ἀποστὰς
head by-a-sword and a-little from the fighters having-withdrawn
ἔτι μᾶλλον ἐπῆρε τοὺς πολεμίους. εἷς δὲ καὶ πολὺ πρὸ
still more he-elated the enemies one and and far before
τῶν ἄλλων ἐπιδραμών, ἀνὴρ τῷ τε σώματι μέγας
the others having-run-forward a-man in-the both body great
καὶ τοῖς ὅπλοις λαμπρός, ἐχρῆτο τῇ φωνῇ θρασυτέρᾳ
and in-the arms splendid used the voice bolder
καὶ προελθεῖν ἐκέλευεν αὐτόν, εἰ ζῇ. παροξυνθεὶς δὲ ὁ
and to-come-forward bade him if he-lives provoked and —
Πύρρος ἐπέστρεψε βίᾳ τῶν ὑπασπιστῶν, καὶ μετ᾽ ὀργῆς
Pyrrhus turned in-spite-of the shield-bearers and with anger
αἵματι πεφυρμένος καὶ δεινὸς ὀφθῆναι τὸ πρόσωπον
with-blood besmeared and terrible to-be-seen in-the face
ὠσάμενος δι᾽ αὐτῶν καὶ φθάσας τὸν βάρβαρον
having-pushed through them and having-anticipated the barbarian
ἔπληξε κατὰ τῆς κεφαλῆς τῷ ξίφει πληγὴν ῥώμῃ τε
struck on the head with-the sword a-blow by-strength both
τῆς χειρὸς ἅμα καὶ βαφῆς ἀρετῇ τοῦ σιδήρου μέχρι
of-the hand at-once and of-the-tempering excellence of-the steel to
τῶν κάτω διαδραμοῦσαν, ὥστε ἐνὶ χρόνῳ περιπεσεῖν
the lower-parts having-run-through so-that in-one moment to-fall
ἑκατέρωσε τὰ μέρη τοῦ σώματος διχοτομηθέντος. τοῦτο
on-either-side the parts of-the body cut-in-two this
τοὺς βαρβάρους ἐπέσχε τοῦ πρόσω χωρεῖν, ὥς τινα
the barbarians held-back from-the forward to-advance as one
τῶν κρειττόνων θαυμάσαντας καὶ καταπλαγέντας τὸν
of-the superior-beings having-admired and having-been-amazed-at —
Πύρρον. ὁ δὲ τὴν ἄλλην ὁδὸν ἀδεῶς διεξελθὼν ἦκεν εἰς
Pyrrhus he and the rest road fearlessly having-traversed came to
Τάραντα, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς κομίζων.
Tarentum twenty-thousand foot and three-thousand horse bringing

ἀναλαβὼν δὲ τῶν Ταραντίνων τοὺς κρατίστους, εὐθὺς
having-taken-up and of-the Tarentines the best at-once
ἐπὶ Ῥωμαίους ἦγεν ἐν τῇ Σαυνίτιδι στρατοπεδεύοντας.
against Romans he-led in — Samnium encamped
τῶν δὲ Σαυνιτῶν τά τε πράγματα διέφθαρτο, καὶ τοῦ 25
of-the and Samnites the both affairs had-been-ruined and from-the
φρονήματος ὑφεῖντο, κεκρατημένοι μάχαις πολλαῖς ὑπὸ
spirit they-had-sunk having-been-conquered in-battles many by
τῶν Ῥωμαίων. ἐνῆν δέ τι καὶ πρὸς τὸν Πύρρον ὀργῆς
the Romans there-was and some also toward — Pyrrhus of-anger
διὰ τὸν εἰς Σικελίαν πλοῦν· ὅθεν οὐ πολλοὶ τούτων αὐτῷ
because-of the to Sicily voyage whence not many of-these to-him
συνῆλθον. πάντας δὲ νείμας δίχα τοὺς μὲν εἰς τὴν
came all and having-divided in-two the-ones indeed into —
Λευκανίαν ἔπεμψεν ἀντιληψομένους τοῦ ἑτέρου τῶν ὑπάτων,
Lucania he-sent going-to-engage the other of-the consuls
ὡς μὴ βοηθοίη, τοὺς δὲ ἦγεν αὐτὸς ἐπὶ Μάνιον Κούριον
so-that not he-might-help the-others and he-led himself against Manius Curius
περὶ πόλιν Βενεουεντὸν ἱδρυμένον ἐν ἀσφαλεῖ καὶ περιμένοντα
near city Beneventum stationed in safety and awaiting
τὴν ἐκ τῆς Λευκανίας βοήθειαν· ἔστι δ' ὅτε καὶ
the from — Lucania help there-are and times-when also
μάντεων αὐτὸν οἰωνοῖς καὶ ἱεροῖς ἀποτρεπόντων ἡσύχαζε.
seers him by-birds and by-sacrifices turning-away he-kept-quiet
σπεύδων οὖν ὁ Πύρρος ἐπιθέσθαι τούτοις, πρὶν ἐκείνους
hastening then — Pyrrhus to-attack these before those
ἐπελθεῖν, ἄνδρας τε τοὺς κρατίστους καὶ τῶν θηρίων τὰ
to-come men both the best and of-the beasts the
μαχιμώτατα λαβὼν νυκτὸς ὥρμησεν ἐπὶ τὸ στρατόπεδον.
most-warlike having-taken by-night set-out against the camp
περιιόντι δὲ αὐτῷ μακρὰν καὶ δασεῖαν ὕλαις ὁδὸν οὐκ
going-around and him a-long and thick with-woods road not

ἀντέσχε τὰ φῶτα, καὶ πλάναι τοῖς στρατιώταις συνέτυχον·
held-out the lights and wanderings to-the soldiers befell
καὶ περὶ ταῦτα γινομένης διατριβῆς ἥ τε νὺξ ἐπέλιπε καὶ
and about these-things happening delay the both night failed and
καταφανὴς ἦν ἅμ᾽ ἡμέρᾳ τοῖς πολεμίοις ἐπερχόμενος
visible he-was together-with day to-the enemies advancing
ἀπὸ τῶν ἄκρων, ὥστε θόρυβον πολὺν καὶ κίνησιν παρασχεῖν.
from the heights so-that uproar much and movement to-cause
οὐ μὴν ἀλλὰ τῶν ἱερῶν τῷ Μανίῳ γενομένων, καὶ
not indeed but the sacrifices — for-Manius having-been-favorable and
τοῦ καιροῦ βοηθεῖν ἀναγκάζοντος, ἐξελθὼν ἐνέβαλε
the moment to-help compelling having-gone-out he-attacked
τοῖς πρώτοις καὶ τρεψάμενος ἐφόβησε πάντας, ὥστε καὶ
the first and having-routed terrified all so-that also
πεσεῖν οὐκ ὀλίγους καὶ τῶν ἐλεφάντων τινὰς ἁλῶναι
to-fall not few and of-the elephants some to-be-captured
καταλειφθέντας. αὕτη τὸν Μάνιον ἡ νίκη κατήγαγε
having-been-left-behind this — Manius the victory brought-down
μαχούμενον εἰς τὸ πεδίον· καὶ συμβαλὼν ἐκ προδήλου τὸ
going-to-fight into the plain and having-engaged from the-open the(-part)
μὲν ἐτρέψατο τῶν πολεμίων, ἔστι δ᾽ ᾗ βιασθεὶς
indeed he-routed of-the enemies there-is and where having-been-forced
ὑπὸ τῶν θηρίων καὶ συσταλεὶς πρὸς τὸ στρατόπεδον
by the beasts and having-been-driven-back to the camp
τοὺς φύλακας ἐκάλει συχνοὺς ἑφεστῶτας τῷ χάρακι μετὰ
the guards he-called many standing at-the palisade with
τῶν ὅπλων καὶ ἀκμῆτας. οἱ δὲ ἐπιφανέντες ἐκ τόπων
the arms and fresh they and having-appeared from places
ὀχυρῶν καὶ τὰ θηρία βάλλοντες ἠνάγκασαν ἀποστρέφεσθαι
strong and the beasts pelting forced to-turn-back
καὶ φυγῇ χωροῦντα διὰ τῶν συμμάχων ὀπίσω ταραχὴν
and in-flight going through the allies backward disorder

ἀπεργάσασθαι καὶ σύγχυσιν, ἣ τὸ νίκημα παρέδωκε
to-produce and confusion which the victory handed-over
τοῖς Ῥωμαίοις, ἅμα δὲ καὶ τὸ κράτος τῆς ἡγεμονίας.
to-the Romans at-once and also the power of-the supremacy
καὶ γὰρ φρόνημα καὶ δύναμιν καὶ δόξαν ὡς ἄμαχοι
and for spirit and power and glory as invincible
προσλαβόντες ἐκ τῆς ἀρετῆς ἐκείνης καὶ τῶν ἀγώνων
having-gained from the valor that and the contests
Ἰταλίαν μὲν εὐθύς, ὀλίγῳ δὲ ὕστερον Σικελίαν κατέσχον.
